Galanos
translations
into Greek,
of Bhartṛhari
Cāṇakya &
Jagannātha
Paṇḍitarāja

1845


SIGILLVM + ACADEMIÆ : HARVARDIANÆ : IN : NOV : ANG
CHRISTO ET ECCLESIÆ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ, ΑΘΗΝΑΙΟΥ,

ΙΝΔΙΚΩΝ ΜΕΤΑΦΡΑΣΕΩΝ

ΠΡΟΔΡΟΜΟΣ.

Galanos, Demetrios.

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ, ΑΘΗΝΑΙΟΥ,

ΙΝΔΙΚΩΝ ΜΕΤΑΦΡΑΣΕΩΝ ΠΡΟΔΡΟΜΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΒΑΤΡΙΧΑΡΗ ΒΑΣΙΛΕΩΣ Bhartrihari

ΗΘΟΛΟΓΙΑΣ, ΓΝΩΜΟΛΟΓΙΑΣ, ΚΑΙ ΑΛΛΗΓΟΡΙΑΣ·

ΤΟΥ ΑΥΤΟΥ

ΥΠΟΘΗΚΑΣ,

Η

ΠΕΡΙ ΜΑΤΑΙΟΤΗΤΟΣ ΤΩΝ ΤΟΥ ΚΟΣΜΟΥ·

ΣΥΛΛΟΓΗΝ

ΠΟΛΙΤΙΚΩΝ, ΟΙΚΟΝΟΜΙΚΩΝ, ΚΑΙ ΗΘΙΚΩΝ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ·

ΣΑΝΑΚΕΑ Sânakya

ΣΥΝΟΨΙΝ ΓΝΩΜΙΚΩΝ ΚΑΙ ΗΘΙΚΩΝ·

ΚΑΙ

ΖΑΓΑΝΝΑΘΑ ΠΑΝΔΙΤΑΡΑΖΑ Jagannâtha Pandi-tarâja

ΑΛΛΗΓΟΡΙΚΑ ΠΑΡΑΔΕΙΓΜΑΤΙΚΑ ΚΑΙ ΟΜΟΙΩΜΑΤΙΚΑ.

ΕΚΔΟΘΕΝΤΑ ΜΕΝ ΦΙΛΟΜΟΥΣΩι ΔΑΠΑΝΗι

ΙΩΑΝΝΟΥ ΔΟΥΜΑ,

ΣΠΟΥΔΗι ΔΕ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑι

Γ. Κ. ΤΥΠΑΛΔΟΥ Typáldos

ΕΦΟΡΟΥ ΤΗΣ ΔΗΜΟΣ. ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜ. ΒΙΒΛΙΟΘΗΚΗΣ,

Καὶ Γ. Ἀποστολίδου Κοσμητοῦ, Βιβλιοφύλακος.

With a biographical notice of the translator.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

Κατὰ τὴν ὁδὸν Ἑρμοῦ, παρὰ τῇ Καπνικαρέᾳ.

1845.

« Δεῖ δ' εὐγνωμόνως ἀκούειν περὶ Ἰνδικῆς· καὶ γὰρ
» ἀπωτάτω ἐστὶ, καὶ οὐ πολλοὶ τῶν ἡμετέρων κατώ-
» πτευσαν αὐτήν. »

ΣΤΡΑΒΩΝΟΣ ΓΕΩΓΡΑΦΙΚ. ΒΙΒΛ. ΙΕ'.

ΤΩι ΜΕΓΑΛΕΙΟΤΑΤΩι

ΒΑΣΙΛΕΙ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΟΘΩΝΙ ΤΩι Α'.

ΚΗΔΕΜΟΝΙ ΚΑΙ ΠΡΟΣΤΑΤΗι

ΤΗΣ

ΕΛΛΗΝΙΚΗΣ ΠΑΙΔΕΙΑΣ

ΤΗΝ

ΕΚ ΤΩΝ ΙΝΔΙΚΩΝ ΛΕΙΜΩΝΩΝ

ΠΡΩΤΟΛΕΙΑΝ

ΤΟΥ ΑΟΙΔΙΜΟΥ

Δ. ΓΑΛΑΝΟΥ

ΤΟΥ ΑΘΗΝΑΙΟΥ

ΕΥΣΕΒΑΣΤΩΣ ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Περι οὐδενὸς ἔθνους ἴσως δὲν ὡμοφώνησε τοσοῦτον καὶ τῆς ἀρχαιότητος καὶ τῶν νεωτέρων χρόνων ἡ κοινὴ δόξα, ὅτι εἶναι τὸ ἀρχαιότατον πάντων τῶν πεπαιδευμένων ἐθνῶν, ἢ τοὐλάχιστον ἓν τῶν ἀρχαιοτέρων, ὅσον περὶ τῶν Ἰνδῶν. Αἱ παρὰ τῶν ἀνιχνευτῶν τῆς θρησκείας καὶ παιδείας τῆς Ἀνατολῆς γενόμεναι ἔρευναι ἔφερον αὐτοὺς σχεδὸν πάντοτε πρὸς τὴν Ἰνδίαν. Ἀλλ' εἰς κἀνένα καιρὸν ἡ ἀπωτάτη ἐκείνη χώρα δὲν ἔσυρε πρὸς ἑαυτὴν τῶν σοφῶν Εὐρωπαίων τὰ ὄμματα περισσότερον, ὅσον κατὰ τοὺς νεωτάτους χρόνους. Ἀφότου ἡ Ἰνδία ὑπετάχθη εἰς τῶν Βρετανῶν τὸ κράτος διήγειρον, ἐκτὸς τῶν ἐμπορευμάτων, καὶ αἱ ἐπιστῆμαι καὶ ἡ φιλολογία αὐτῆς τὴν προσοχὴν τῶν καταχτητῶν. Ὑπέλαβον ὅτι ἀνεκάλυψαν ἐκεῖ τὰς πηγάς, ἐξ ὧν ἐπέρρευσεν ἡ θρησκεία καὶ ἡ σοφία ὄχι μόνον εἰς τὴν Ἀσίαν, ἀλλὰ καὶ εἰς τὴν Ἑλλάδα καὶ Ἰταλίαν. Τὰς πηγὰς ταύτας ἐσπούδασαν οἱ σοφοὶ τῆς Ἀγγλίας ν' ἀνοίξωσι καὶ εἰς τὴν λοιπὴν Εὐρώπην, τὸ μὲν διὰ συγγραφῶν περὶ τῆς θρησκείας καὶ παιδείας τῶν Ἰνδῶν, τὸ δὲ διὰ μεταφράσεων, ποιήσεων καὶ συγγραμμάτων Ἰνδικῶν, καὶ ἀπὸ τοῦ 1784, ὅτε ὑπὸ τὴν προεδρείαν τοῦ Οὐϊλλιάμου Ἰώνες (William Jones) ἐσυστήθη εἰς τὴν Καλκούταν ἡ Ἀσιατικὴ Ἑταιρία, ἤρχισεν ἡ γνῶσις τῆς ἀρχαίας ἰνδικῆς γλώσσης καὶ φιλο-

λογίας νὰ ἐξαπλοῦται τοσοῦτον εἰς τὴν σοφὴν Εὐρώπην, ὥστε τὴν σήμερον εἰς τὴν Ἀγγλίαν, Γερμανίαν, καὶ Γαλλίαν, ὑπάρχουσι καὶ καθέδραι πρὸς διδασκαλίαν τῆς Σανσκρίτης καὶ σανσκριτικῆς φιλολογίας. Ἡ Ἑλλὰς, ἥτις καί τοι στενάζουσα ὑπὸ τὸ βάρος τῶν πολυειδῶν αὐτῆς συμφορῶν, δὲν ἔμεινε ποτὲ ξένη καὶ ἀμέτοχος εἰς τὰ μεγάλα ζητήματα τῆς θρησκείας, τῆς ἐπιστήμης καὶ τῆς τέχνης, τὰ ὁποῖα ἐνησχόλησαν τὸν πεπαιδευμένον κόσμον, παρουσιάζεται καὶ ἤδη συνάμιλλος τῶν μεγάλων εὐρωπαϊκῶν ἐθνῶν περὶ τὴν Ἰνδολογίαν. Αἱ μεταφράσεις τῶν ὑμνουμένων ποιημάτων τῆς ἰνδικῆς φιλολογίας καὶ ἄλλαι συγγραφαὶ ἀφορῶσαι τὴν ἀρχαιολογίαν τοῦ ἰνδικοῦ ἔθνους, μὲ τὰς ὁποίας ὁμογενὴς λόγιος καὶ φιλόπατρις, παιδευθεὶς τὴν ἰνδικὴν σοφίαν εἰς τὴν χώραν ἐκείνην, ἐπλούτισε τὴν Βιβλιοθήκην τοῦ Πανεπιστημίου, εἶναι θησαυροὶ, οἵτινες ἐκδιδόμενοι εἰς φῶς θέλουσιν ἀναμφιβόλως συντελέσει πολὺ εἰς τὸ νὰ προβιβάσωσιν ἐξ αὐτῶν τῶν πηγῶν τὴν γνῶσιν τῆς ἰνδικῆς φιλολογίας καὶ ἀρχαιότητος, ἡ δὲ εἰς τὴν συγγενῆ τῆς Σανσκρίτης ἑλληνικὴν γλῶσσαν μετάφρασις τῶν ποιήσεων θέλει παρέξει εἰς τοὺς φιλοκάλους κριτικοὺς εὐκαιρίαν πρόσφορον καὶ εὐτυχῆ πρὸς σύγκρισιν τῆς τε σανσκριτικῆς καὶ ἑλληνικῆς γλώσσης καὶ τῆς ἰνδικῆς καὶ ἑλληνικῆς ἐποποιίας.

Τῆς Σανσκρίτης, τῆς ἐπισημοτέρας ἰνδικῆς γλώσσης, ἡ πρὸς τὴν Περσικὴν, Ἑλληνικὴν, Λατινικὴν, Γερμανικὴν καὶ Σλαβικὴν συγγένεια λογίζεται τὴν σήμερον ὡς ἀποδεδειγμένη. Ἡ Σανσκρίτη ἦτο τὸ ἀρχαῖον γλῶσσα λαλουμένη, ἀλλ' ἱκανοὺς αἰῶνας, ὡς εἰκάζουσι,

πρὸ Χριστοῦ ἔπαυσε ἀπὸ τοῦ νὰ λαλῆται. Ἀνήκει εἰς τὰς τελειοτέρας γνωστὰς γλώσσας καὶ χρησιμεύει εἰς τὴν Ἰνδίαν ὡς γλῶσσα ἱερὰ τῆς λατρείας, καὶ ὡς ἡ κυριωτέρα τῆς φιλολογίας γλῶσσα. Ἐκ τούτου ἔχει καὶ τὴν ἐπίκλησιν· διότι ἡ λέξις Σανσκρίτη δηλοῖ τὴν ἱεράν, τὴν καθαράν, τὴν τελείαν, τὴν κλασσικὴν γλῶσσαν, κατ' ἀντίθεσιν πρὸς τὰς κοινὰς ἢ δημώδεις γλώσσας. Οἱ πεπαιδευμένοι Ἰνδοὶ ἐννοοῦσιν ὅλοι τὴν Σανσκρίτην. Πολλὰ συγγράμματα τῶν Ἰνδῶν παρεδόθησαν εἰς τὸ πῦρ ὑπὸ τῶν κατακτητῶν τῆς Ἰνδίας Μωαμεθανῶν, καὶ μολοντοῦτο ἡ ἰνδικὴ φιλολογία δύναται νὰ ὀνομασθῇ πλουσία, ὡς ἐξάγεται ἐκ τῶν περὶ αὐτῆς βιβλιογραφικῶν συγγραμμάτων. Τὸ ἀρχαιότατον καὶ ἱερώτατον βιβλίον, ἐκ τῶν εἰς σανσκριτικὴν γλῶσσαν γεγραμμένων εἶναι αἱ λεγόμεναι Βέδαι, τέσσαρες τὸν ἀριθμόν, καὶ συντάκτης, ἢ μᾶλλον συλλογεὺς αὐτῶν, ἀναφέρεται ὁ Βεάσας· διότι δὲν εἶναι ἔργα ἑνὸς ἀνδρὸς οὐδὲ συνετάχθησαν κατὰ τὸν αὐτὸν χρόνον, διὸ καὶ διαφέρουσι πρὸς ἀλλήλας κατὰ τὴν γλῶσσαν καὶ κατὰ τὸ πνεῦμα. Ἑκάστη τῶν τεσσάρων Βεδῶν σύγκειται ἐκ δύο μερῶν, ἐκ λειτουργικοῦ καὶ διδακτικοῦ· τὸ μὲν περιέχει προσευχὰς καὶ ὕμνους, τὸ δὲ παραγγέλματα καὶ διδασκαλίας περὶ θρησκευτικῶν καὶ ἄλλων πραγμάτων, οἷον ἀστρονομικῶν καὶ ἱστορικῶν. Αἱ ἐν ταῖς Βέδαις περιεχόμεναι προσευχαὶ ἀναγινώσκονται καὶ τὴν σήμερον ὑπὸ τῶν Ἰνδῶν κατὰ τὴν λατρείαν, ἀλλὰ παρὰ τῶν πλείστων μηχανικῶς μόνον, χωρὶς νὰ ἐννοῶσι τὰ ἀπαγγελλόμενα.

Τὸ ἱερώτατον μετὰ τὰς Βέδας σύγγραμμα εἶναι τὸ

κατὰ τὸ ὄνομα ὑποτιθεμένου ἀρχαιοτάτου βασιλέως ἐπονομαζόμενον Νομικὸν τοῦ Μενοῦ ἢ Μανοῦ. Ἔλαβε γένεσιν μετὰ τὰς Βέδας, καὶ ἀνήκει ὡσαύτως εἰς τὰ ἔργα τῶν ἀρχαιοτάτων χρόνων· περιέχει δὲ παραγγέλματα περὶ τοῦ δημοσίου καὶ ἰδιωτικοῦ βίου καὶ περὶ τῆς πίστεως. Ἄλλαι ἱεραὶ γραφαί, τῶν ὁποίων ἡ σύνταξις δὲν ἀνήκει πλέον εἰς τὴν μακροτάτην ἀρχαιότητα, εἶναι αἱ Οὐπαβέδαι (οἱονεὶ Ὑποβέδαι), αἱ Βεδάγγαι, ὑπομνήματα καὶ ἑρμηνεῖαι εἰς τὰς Βέδας, καὶ αἱ Πουράναι, ἤτοι συλλογαὶ μακρῶν ποιημάτων, τῶν ὁποίων ἡ ὑπόθεσις εἶναι ἡ δημιουργία τοῦ κόσμου, αἱ πράξεις τῶν Θεῶν καὶ ἡρώων καὶ λόγοι ἱστορικοὶ ἐκ τῶν ἀρχαιοτάτων χρόνων.

Πλουσία εἶναι ἡ ἀρχαία ἰνδικὴ φιλολογία εἰς ἐποποιίας. Τὰ ἀρχαιότατα αὐτῶν ἔπη ἐγέννησαν πλῆθος μιμήσεων, παρόμοια ὡς καὶ αἱ ποιήσεις τοῦ Ὁμήρου. Ἀλλὰ καθὼς εἰς τὴν ἑλληνικὴν ποίησιν διαλάμπουσιν ἐν τῷ μέσῳ τῶν ἄλλων ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, οὕτω καὶ εἰς τὴν ἰνδικὴν ἡ Ῥαμαϊάνα καὶ ἡ Μαχαβαράτα. Ὑπόθεσις τῆς Ῥαμαϊάνας εἶναι ἡ νίκη τοῦ Ῥάμα (τοῦ ἐνσαρκωθέντος θεοῦ Βισνοῦ) ἐπὶ τοῦ Ῥαβάνα, ἀρχηγοῦ τῶν δαιμόνων. Οὗτοι εἶχον ἀφαιρέσει ἀπὸ τὰ ἀγαθὰ πνεύματα τὸ προνόμιον τῆς ἀτρωσίας, καὶ οὕτω ὑπερίσχυσαν αὐτῶν, καὶ δὲν ἐδύναντο νὰ νικηθῶσιν, εἰμὴ ὑπ' ἀνθρώπου· τὰ ἀγαθὰ πνεύματα ἐδεήθησαν τοῦ Βισνοῦ νὰ ἐνσαρκωθῇ ὑπὲρ αὐτῶν. Ποιητὴν τοῦ ἔπους τούτου λέγουσι τὸν Βαλμίκην, καὶ ὅτι τὸ ποίημα εἶναι ἀρχαιότατον εἰκάζουσιν ὅτι ἐξ αὐτοῦ ὑπάρχουσιν ἀντικείμενα εἰκονισμένα εἰς τὰ ἀρχαιότατα τῆς Ἰνδίας ἀρχιτεκτονικὰ μνη-

μεῖα. Σύγκειται ἡ Ῥαμαϊάνα ἐκ βιβλίων Ζ' καὶ κδ' Σλοκῶν ἢ διστίχων. Μόνα δύο βιβλία αὐτοῦ μετεφράσθησαν καὶ ἐξεδόθησαν ἀγγλιστί.

Ἡ Μαχαβαράτα ἔχει ὑπόθεσιν τὸν ἀγῶνα τῶν γενῶν Πανδοῦ καὶ Κουροῦ, εἰς τὸν ὁποῖον λαμβάνει μέρος ὁ θεῖος Κρισνᾶς. Τὸ ποίημα σύγκειται ἐκ ΙΗ' βιβλίων καὶ, ὡς λέγουσι, 200,000 στίχων. Ἐξ αὐτοῦ μόνον ἐπεισόδια τινὰ μετεφράσθησαν καὶ ἐτυπώθησαν εἰς τὴν ἀγγλικὴν καὶ γερμανικὴν γλῶσσαν. Ἐκ τῶν ἐφημερίδων βλέπομεν ὅτι τοῦ μεγάλου τούτου ποιήματος ἐκδίδεται ἤδη πλήρης μετάφρασις εἰς τὸ γερμανικὸν ἐκ τοῦ ἐν Καλκούτᾳ ἐκδοθέντος πρωτοτύπου (1).

Καὶ ἄλλων δὲ εἰδῶν ποιημάτων εὐμοιρεῖ ἡ ἰνδικὴ

(1) Τὰ ἀναφερόμενα ὀλίγα ταῦτα εἰς τὴν Ἰνδικὴν φιλολογίαν ἐλάβομεν παρ' ὁμογενοῦς λογίου, ἀσχολουμένου εἰς ἱστορικὰς σπουδὰς, ὅστις ἤθελε βεβαίως πληρώσει τὸ χάσμα τοῦτο, ἂν εἶχε τὸν ἀπαιτούμενον καιρόν. Ἡ ἐργασία ὅμως οὖσα προχωρημένη, δὲν ἐσυγχώρει οὐδεμίαν ἀναβολήν.

Παραπέμπομεν δὲ τοὺς ἐπιθυμοῦντας νὰ γνωρίσωσιν ἀκριβέστερον τὰ περὶ Ἰνδίας καὶ ἰνδικῆς φιλολογίας εἰς τὰ συγγράμματα τοῦ Adelung, Literatura sanscritica. Petropoli, 1830.—Bohlen, Das alte Indien. Koenigsberg 1830.—Benfey, Indien, in Ersch und Gruber Encyclopaedie, καὶ εἰς τὴν ἤδη ἐν Παρισίοις ἐκδιδομένην λαμπρὰν Ἀσιατικὴν συλλογὴν, Collection Orientale. Paris 1836, ὅπου θέλουσιν εὕρει τὰς νεωτέρας καὶ ἀκριβεστέρας περὶ τούτου πληροφορίας.

Στοχαζόμενοι ὅμως ὅτι ὁ ἀναγνώστης ὠφελεῖται μᾶλλον εἰς τὴν σπουδὴν τῶν πρωτοτύπων, ἢ τῆς μεταφράσεως αὐτῶν, παρὰ εἰς συντόμους φιλολογικὰς συζητήσεις, ἐκρίναμεν εὔλογον, ἀντὶ πλειοτέρων προλεγομένων, νὰ προσθέσωμεν ἀκολούθως ἐν ἐκτάσει τὸν κατάλογον τῶν εὑρισκομένων ἐν τῇ βιβλιοθήκῃ ἡμῶν χειρογράφων τοῦ Ἕλληνος μεταφραστοῦ.

(Σημ. τῶν Ἐκδ.)

φιλολογία, οἷον μύθων, ἠθικῶν καὶ ποιητικῶν διηγημάτων, ἐξ ὧν οἱ Ἄραβες ἐρανίσθησαν ἐν μέρει τὰς ὑποθέσεις τῶν μυθικῶν αὐτῶν διηγήσεων, καὶ δραματικῶν ποιημάτων, ἤτοι τραγῳδιῶν καὶ κωμῳδιῶν. Τὸ ὀνομαστότατον ἰνδικὸν δραματικὸν ποίημα εἶναι ὁ *Δακτύλιος τῆς Σακονταλᾶς*, ἔργον τοῦ ποιητοῦ Καλιδάσα, μεταφρασθὲν εἰς πολλὰς ἐκ τῶν εὐρωπαϊκῶν γλωσσῶν. Ἀλλὰ καὶ εἰς νομικά, φιλοσοφικά, γραμματικὰ καὶ ἄλλα ἐπιστημονικὰ συγγράμματα, ἀρχαῖα καὶ νεώτερα, εἶναι πλουσία ἡ σανσκριτικὴ φιλολογία· καθότι ἡ ἔμφυτος τοῦ ἰνδικοῦ ἔθνους ῥοπὴ πρὸς τὸν θεωρητικὸν βίον, ἡ διαίρεσις αὐτοῦ εἰς πολλὰς μικρὰς πολιτείας καὶ ὁ μὲ ταύτην συνδεδεμένος βίος εἰς βασιλικὰς αὐλὰς ἔπρεπε νὰ συντελέσωσιν εἰς τὴν ἀνάπτυξιν τῆς ποιήσεως καὶ τῆς ἐπιστήμης.

Γηραλδος, Ι.Κ.

ΒΙΟΓΡΑΦΙΚΑ ΤΙΝΑ
ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΓΑΛΑΝΟΥ.

Παντολεων γαλανος καὶ ἡ σύζυγος αὐτοῦ Διαμάντω, εὐπάτριδες Ἀθηναῖοι καὶ χαίροντες πολλὴν ἐπὶ τιμιότητι καὶ ἀρετῇ ὑπόληψιν μεταξὺ τῶν συμπολιτῶν αὐτῶν, ἔσχον τρεῖς υἱοὺς καὶ μίαν θυγατέρα, ἐξ ὧν ὁ μὲν πρωτότοκος ἐτελεύτησεν εἰς βρεφικὴν ἡλικίαν, ὁ δὲ δεύτερος, ὁ Δημήτριος, ἐγεννήθη τῷ 1760, καὶ τὸ ἐπόμενον ἔτος ὁ τρίτος υἱὸς, καλούμενος Φιλάρετος. Οὗτος ἔχων φιλήσυχον πνεῦμα, μετὰ μικρὰν γραμμάτων ἐκπαίδευσιν, περιορισθεὶς εἰς τὴν ἐγχώριον μικρεμπορίαν καὶ τὴν καλλιέργειαν τῶν πατρικῶν του γαιῶν, ἐνυμφεύθη τὴν Καλομοίραν, ἐξ ἧς ἔσχεν υἱὸν Παντολέοντα καλούμενον, συνώνυμον δηλονότι τῷ πάππῳ αὐτοῦ.

Ἡ δὲ θυγάτηρ τοῦ Π. Γαλανοῦ καὶ Διαμάντως, καλουμένη Καρυιὰ, νυμφευθεῖσα τὸν Γεώργιον Μενιδιάτην Ἀθηναῖον, ἔσχεν υἱὸν καλούμενον Παναγῆν.

Ὁ δευτερότοκος λοιπὸν Δημήτριος, προικισθεὶς ἐκ φύσεως μετ' ὀξέως, ζωηροῦ καὶ σκεπτικοῦ πνεύματος, ἤθους δὲ πράου καὶ φιλόφρονος, ἐφαίνετο εἰς τὸ ἄκρον φιλομαθὴς καὶ ἐξ αὐτῆς τῆς τρυφερᾶς του ἡλικίας. Οὗτος ἤρχισε τὰ ἑλληνικὰ γράμματα εἰς τὸ τότε ἑλληνικὸν σχολεῖον τῶν Ἀθηνῶν, σχολαρχούμενον ὑπὸ τοῦ Ἰω. Μπενιζέλου· ἀλλ' ἐντὸς ὀλίγου, ὑπερβὰς τοὺς συνηλικιώτας του, εἵλκυσε τὴν ἰδιαιτέραν εὔνοιαν τῶν διδασκάλων καὶ προὐχόντων τῆς πατρίδος του, ὥστε δω-

δεκαετὴς μόλις ὢν, ἐγνώριζεν ἤδη τὴν Ἑλληνικὴν Γραμματικὴν, καὶ τοὺς συγγραφεῖς, πρᾶγμα σπανιώτατον εἰς τὴν ἐποχὴν ἐκείνην.

Ἐξ ὅσων ὅμως ἔμαθεν, ἐννόησεν εὐκόλως, ὅτι εἶχε χρείαν πλειοτέρων. Ἕνεκα τούτου ἀνεχώρησε περὶ τὸ ΙΔ' ἔτος τῆς ἡλικίας του εἰς τὸ Μεσολόγγιον, ὅπου ἐδίδασκε τὰ γραμματικὰ ὁ περίφημος Παναγιώτης Παλαμᾶς· ἐκεῖθεν μετέβη εἰς Πάτμον, ἔνθα μετὰ πολλῆς ὑπολήψεως καὶ ἐπιτυχίας ἐδίδασκε τὴν Ἑλληνικὴν γλῶσσαν καὶ φιλολογίαν ὁ ἀοίδιμος Δανιήλ.

Εἰς τὴν νῆσον ταύτην διατρίψας ἑξαετίαν ὁλόκληρον, καὶ ἐγκρατὴς γενόμενος ἁπάσης τῆς Ἑλληνικῆς μαθήσεως, ἀνεχώρησεν εἰς Κωνςαντινούπολιν, προσκληθεὶς παρὰ τοῦ θείου αὐτοῦ, τοῦ τότε πρωτοθρόνου τῆς ἱερᾶς ἐν Κωνςαντινουπόλει Συνόδου, Καισσαρείας Γρηγορίου, ὅςτις θαυμάσας τὴν παιδείαν καὶ χρηστοήθειαν τοῦ ἀνεψιοῦ του Δημητρίου, καὶ τοῦ ἤθους τὴν γλυκύτητα ἀγασθεὶς, ἐπρότεινεν εἰς αὐτὸν ἵνα γείνῃ κληρικὸς, εἰς τὸ ὁποῖον ἀντέτεινεν ὁ Δημήτριος, ἐπιθυμῶν τῶν γνώσεων αὐτοῦ τὴν τελειοποίησιν.

Τὸ Ἀγγλικὸν ἐμπόριον ἤκμαζεν ἤδη εἰς τὴν Ἰνδίαν· τινὲς δὲ τῶν μεγαλεμπόρων Ἑλλήνων, ἐλθόντες διὰ ξηρᾶς καὶ κατοικήσαντες εἰς Καλκούταν, ἐμπορεύοντο τὰ πολύτιμα τῆς Ἰνδίας προϊόντα. Εἷς δὲ ἐξ αὐτῶν, καλούμενος Κωνς. Πανταζῆς, ἐξ Ἀνδριανουπόλεως, γράψας πρὸς τὸν ἐν Κωσταντινουπόλει ἀνταποκριτήν του Μανδρατζόγλον, ἐζήτει νέον τινα καλὸν, διὰ νὰ διδάξῃ εἰς τοὺς συγγενεῖς του τὴν Ἑλληνικὴν γλῶσσαν. Ὁ ῥηθεὶς Μανδρατζόγλος, φίλος ὢν τοῦ ἱεράρχου Καισαρείας, καὶ

γνωρίζων τὸν ἀνεψιὸν αὐτοῦ Δημήτριον Γαλανὸν, ὡς νέον χρηστοηθέστατον, σεμνὸν καὶ λίαν ἐγκρατῆ τῆς Ἑλληνικῆς παιδείας, τῷ ἐπρότεινε, παρακινῶν αὐτὸν νὰ δεχθῇ τὴν πρόσκλησιν τοῦ Κωνς. Πανταζῆ.

Ὁ Γαλανὸς ἐλπίζων ἐκ τούτου καὶ τὴν περιουσίαν τῶν γνώσεών του ν' αὐξήσῃ, καὶ ἀνεξάρτητον κατάστασιν ν' ἀποκτήσῃ, ἐδέχθη εὐχαρίστως τὴν πρότασιν. Οὕτως ἑτοιμασθεὶς, καὶ τὰς χρηματικάς του οἰκονομίας πέμψας πρὸς τοὺς γονεῖς αὐτοῦ, ἀνεχώρησε περὶ τὰ τέλη τοῦ 1786 ἔτους. Ἀλλ' ἐνθυμούμενος πάντοτε τὴν πατρίδα, τοὺς γονεῖς καὶ συγγενεῖς του, οὐ μόνον ἔγραφε πρὸς αὐτοὺς συνεχῶς, ἀλλὰ καὶ καθαρὰ μέχρι τέλους διετήρησε καὶ τὸ φρόνημα καὶ τὴν καρδίαν του, ὡς φαίνεται ἐκ τῆς ἑξῆς αὐτογράφου ἐπιστολῆς αὐτοῦ·

Παμφίλτατέ μοι πάτερ, καὶ γλυκυτάτη μοι μῆτερ, υἱϊκῶς προσκυνῶ τὴν ἡμετέραν κορυφὴν, εὐλαβῶς κατασπαζόμενος τὰς ἁγίας ὑμῶν δεξιὰς, καὶ τοὺς τιμίους πόδας.

«Πρὸς οὓς καὶ δηλοποιῶ, ὅτι ὑγιαίνω διὰ τῶν ἁγίων »ὑμῶν εὐχῶν. Ἀλλὰ λυποῦμαι ἐσχάτως, ἐπειδὴ οὔτε »πέρυσι γράμματά σας ἔλαβον, ἀλλ' οὔτε ἐφέτος, μὲ »ὅλον ὁποῦ ἐγὼ ἐξ ἅπαντος ἤλπιζον κἂν ἐφέτος, ὅτι »θέλω λάβει γράμματά σας, ὁμοῦ μὲ τὰ γράμματα τοῦ »τζελεμπῆ Θεοδωράκη· καὶ εἰς τοῦτο ἀληθινὰ μὲ ἀδι»κεῖτε πολλὰ, καὶ μὲ βάλλετε πρὸς τούτοις καὶ εἰς δια»φόρους στοχασμοὺς, γεμάτους ὑποψίας. Ἀλλ' ἐγὼ τῇ

»τιμιότητί σου, πάτερ, συγχωρῶ, ἐπειδὴ τυχὸν βαρύνε-
»σαι πλέον νὰ γράφῃς. Ἀγκαλὰ εἰς τοῦτο δύναται νὰ
»ἐνεργήσῃ καὶ ἄλλος, ὅταν μόνον θελήσῃ, καὶ προστάξῃ
»ἡ τιμιότης της. Μὲ κακοφαίνεται ὅμως περισσότερον,
»ἐπειδὴ καὶ ὁ γαμβρός μου κύρ Γεωργάκης, μὲ ὅλον
»ὁποῦ εἶναι νέος, καὶ δυνατὸς εἰς τὸ νὰ γράφῃ, βαρύνε-
»ται ὅμως καὶ ἡ τιμιότης του, ἢ, ἐὰν δὲν βαρύνεται,
»δὲν θέλει· ἐπειδὴ, καθὼς φαίνεται, δὲν ἀγαπᾷ νὰ μᾶς
»ἠξεύρῃ, ἢ ἴσως στοχάζεται, ὅτι δὲν ἐλπίζει πλέον νὰ
»μᾶς ἰδῇ, ἐπειδὴ ἐχάσαμεν αὐτὸν τὸν κόσμον, καὶ δὲν
»ἠμποροῦμεν νὰ τὸν εὕρωμεν ἄλλην μίαν φοράν. Καὶ ὅτι
»ἔχει οὕτω τὸ πρᾶγμα, καθὼς ἐγὼ λέγω, γίνεται φα-
»νερὸν ἐκ τούτου· διότι τί ἐμπόδιον ἦτον, ἢ ποῖος με-
»γάλος κόπος ἠκολούθει, ἐὰν ἔγραφες, γαμβρέ μου, καὶ
»ἡ τιμιότης σου ἓν γράμμα μικρὸν, ὅταν ὑπῆγες ὁ ἴδιος
»εἰς Κωνσταντινούπολιν, καὶ συνανεστράφης, καὶ συνω-
»μίλησες μὲ τὸν γραμματικὸν τοῦ τζελεμπῆ Θεοδωράκη;
»Δὲν κάμνετε καλὰ, ὄχι· μὲ ἀδικεῖτε πολλά· κοντὰ ὁποῦ
»εἶναι ἀπαίσιον, καὶ κατηγορημένον πρᾶγμα, ἀπὸ μὲν
»ξένους νὰ λαμβάνω γράμματα, ἀπὸ δὲ γονεῖς, ἢ συγ-
»γενεῖς ὄχι. Μὲ ὅλον τοῦτο ἐγὼ σᾶς εὐχαριστῶ, καὶ ἀ-
»γαπῶ, καὶ θέλω νὰ σᾶς γνωρίζω ὡς γονεῖς καὶ συγ-
»γενεῖς, εἰς καιρὸν ὁποῦ ἡ αὐθεντία σας δὲν θέλετε νὰ
»ἠξεύρετε, ἀπὸ τὶ μαλλὶ εἶναι ἡ σκούφια μας. Τὸ κατευό-
»διόν μου ἐνταῦθα εἰς Βεγγαλίαν, καὶ τὴν κατάστασίν
»μου, εἶμαι βέβαιος, ὅτι τὰ ἐμάθετε καταλεπτῶς ἀπὸ
»τὰ γράμματα, ὁποῦ πέρυσι ἔστειλα ἀπὸ Μπάσραν, καὶ
»ἀπὸ Λιβόρνον, καὶ ἀπὸ Μοναστήριον τοῦ ὄρους Σινᾶ.
«ἀλλὰ καὶ ἤδη δὲν λείπω, νὰ σημειώσω διὰ πληροφο-

»ρίαν, καὶ ἡσυχίαν σας, ὅτι χάριτι θείᾳ εὑρίσκομαι ἐν »ὑγείᾳ καὶ ἡσυχίᾳ, καὶ ἐλπίζω εἰς Θεὸν, ὅτι ἐντὸς ὀλί»γου θέλετε μὲ ἀπολαύσει, καθὼς ποτὲ εἰς τὸν νοῦν σας »δὲν ἐβάλετε. Τοῦτο μόνον παρακαλεῖτε, τὸ νὰ ὑγιαίνω »ἐγὼ, καὶ ὁ εὐγενέστατος κὺρ Παναγιωτάτης. Λοιπὸν »περὶ ἐμοῦ μὴν ἔχετε ποσῶς καμμίαν ἔννοιαν, μηδὲ λυ»πεῖσθε παντελῶς, μάλιστα πρέπει νὰ χαίρετε ὑπερβαλ»λόντως, δοξάζοντες τὸν Θεὸν, ἐπειδὴ ἔτυχε νὰ εὑρεθῶ »ἐδῶ κατὰ τούτους τοὺς δυστυχεῖς καιροὺς, ὁποῦ τρέ»χουσιν αὐτόθι. Μὴ νομίζετε, ὅτι ἡμεῖς οἱ χαϊμένοι εἰς »τοῦτον τὸν βαθύτατον, καὶ μακρινὸν τόπον, δὲν μαν»θάνομεν τὰ αὐτοῦ ἀκολουθοῦντα· ἂς ἦστε βέβαιοι ὅτι, »οὐδὲ τὸ παραμικρὸν πρᾶγμα δὲν μᾶς λανθάνει, ἀπὸ »γράμματα, καὶ ἀπὸ εἰδήσεις, ὁποῦ ἔρχονται ἐδῶ καθ' ἑ»κάστην, καὶ ἀπὸ Ἰγγλητέραν, καὶ ἀπὸ κάθε ἄλλο μέ»ρος τῆς Εὐρώπης. Τώρα ὅμως προσμένομεν ἡμέρᾳ τῇ »ἡμέρᾳ διὰ νὰ μάθωμεν τὸ τελευταῖον συμβὰν, καὶ τὴν »ἀληθῆ κατάστασιν τῶν αὐτόθι πραγμάτων. Εἴθε οὖν ὁ »ἅγιος Θεὸς νὰ σᾶς διαφυλάττῃ ἀβλαβεῖς ἀπὸ τὰς ἐπη»ρείας τῶν πονηρῶν. Πέρυσι ἔγραψα τῷ τζελεμπῇ Θεο»δωράκῃ, διὰ νὰ σᾶς στείλῃ ἑκατὸν γρόσια· ὁμοίως γρά»φω καὶ ἐφέτος, διὰ νὰ σᾶς στείλῃ ἄλλα ἑκατόν. Ἐνε»χείρησα καὶ τῷ θείῳ ἡμῶν δεσπότῃ, ἁγίῳ Καισσαρείας »ἄλλα 100, ὅταν ἤθελα ἀναχωρήσω ἀπὸ Κωνσταντινού»πολιν· ἀλλὰ δὲν μοὶ ἐσημειώσατε, ἂν τὰ ἐλάβετε.

«Συγχωρήσατέ μοι, ὁποῦ δὲν σᾶς στέλλω ἀπὸ τὰ »πράγματα τῆς Ἰνδίας, διὰ τὰς ἀνωμαλίας τῶν καιρῶν, »καὶ ἀκαταστασίας τῶν δρόμων. Μετέπειτα ὅμως, ὅταν »τὰ πράγματα τοῦ κόσμου σας λάβωσι καλὴν κατάστα-

»σιν, καὶ εἰρήνην, θέλω τότε χάμει τὸ χρέος μου. Ἀλ»λὰ παρακαλῶ, καὶ σᾶς ὁρκίζω εἰς τὸν Θεὸν, διὰ νὰ μοὶ »γράψητε καταλεπτῶς περί τε τῆς ὑγιείας σας, καὶ κα»ταστάσεώς σας, ὁμοίως καὶ τῶν συγγενῶν μας ὅλων.

«Τὴν κυρίαν μου μάμμην προσκυνῶ ταπεινῶς, καὶ τὴν »παρακαλῶ, νὰ μὲ εὔχεται, ἕως οὗ πάλιν νὰ ἔλθω, νὰ »τὴν ἀπολαύσω. Τὸν δὲ τιμιώτατον θεῖόν μου κὺρ Ἀργυ»ρὸν, καὶ τὴν κυρίαν Μαλτοῦν, ὁμοῦ μὲ τὰ τέκνα των, »ἀσπάζομαι ἡδέως· ὁμοίως καὶ τὴν κυρίαν Μασσοῦν μὲ »τὰ τέκνα της, καὶ ἅπαντας τοὺς γείτονας, καὶ φίλους »κατ' ὄνομα. Ἐξαιρέτως δὲ τὸν περιπόθητόν μοι αὐτά»δελφον κύρ Φιλάρετον, καὶ κυρίαν Καρυιὰν, καὶ γαμ»βρόν μου κύρ Γεωργάκην, ὁμοῦ μὲ τὸν ἀνεψιόν μου »Παναγιωτάκην, καὶ εἴ τινα ἄλλον μέχρι τοῦδε ἐγεννήθη »πασιχαρῶς ἀσπάζομαι, καὶ γλυκοφιλῶ. Ἀσπάζομαι καὶ »τὸν ἀγαπητόν μοι κὺρ Νικόλαον Χρυσοχόον, ὁμοίως καὶ »τὸν τιμιώτατον κύρ Ἀνδρίκον μ' ὅλον του τὸ ἀρχοντι»κὸν, καὶ τοὺς λοιποὺς ἡμῶν συγγενεῖς, καὶ συμπεθέ»ρους. Τὸ παρὸν γράμμα στέλλω εἰς Λιβόρνον· κἀκεῖ»θεν, σὺν Θεῷ, θέλετε τὸ λάβει. Μετὰ ταῦτα πάλιν γρά»φω καὶ ἀπὸ Μπάσραν διπλᾶ γράμματα. Ὑγιαίνετε, »ὑγιαίνετε, ὑγιαίνετε, κἀμοῦ ἐπευχόμενοι, περιπόθητοί »μου γονεῖς, καὶ ἐρασμιώτατοι.

5 Δεκεμβρίου 1789.

Ἀπὸ Καλκούτας Βεγγαλίας.

Ὁ προσφιλέστατος ὑμῖν υἱός.

Δημήτριος ὁ Γαλανός.

«Τὸν εὐλαβέστατον Νονόν μου κύριον Ἄνθιμον υἱο»πρεπῶς προσκυνῶ, ὡσαύτως καὶ τὸν πανοσιώτατον

»ἅγιον Πνευματικὸν, κὺρ Συμεὼν, καὶ κὺρ Μακάριον »Γεωργιλᾶν, καὶ τοὺς ἁγίους διδασκάλους.»

Φθάσας ὁ Γαλανὸς εἰς Καλκοῦταν, ὑπεδέχθη φιλοφρόνως παρὰ τοῦ Κ. Πανταζῆ, ὅστις ἰδὼν τὴν ἀγαθότητα καὶ τὴν παιδείαν τοῦ ἀνδρὸς, ἀφιέρωσεν εἰς αὐτὸν τὴν ἐκπαίδευσιν τῶν συγγενῶν του. Οὗτος διατρίψας ἱκανὰ ἔτη εἰς τὴν οἰκίαν τοῦ Πανταζῆ, διδάσκων πρὸς τοὺς νέους μὲν ἓξ περίπου ἔτη τὴν Ἑλληνικὴν, αὐτὸς δὲ διδασκόμενος παρ' ἄλλων τὴν Ἀγγλικὴν, τὴν Σανσκριτικὴν, τὴν Περσικὴν καὶ τὰς λοιπὰς ἀσιατικὰς γλώσσας, ἔτι δὲ ἱκανὴν χρημάτων ποσότητα ἀποκτήσας, καὶ μεγίστην ἐπὶ σοφίᾳ καὶ πολυμαθείᾳ ὑπόληψιν παρ' Ἄγγλοις καὶ Ἰνδοῖς ἔχων, ἀπεφάσισε νὰ ἀφιερώσῃ ὅλον αὐτοῦ τὸν βίον εἰς τὴν φιλοσοφίαν. Ὅθεν καταθέσας τὴν χρηματικήν του περιουσίαν εἴς τινας τῶν εὐϋποληπτοτέρων ἐμπορικῶν οἴκων, ἵνα λαμβάνῃ κατ' ἔτος τοὺς τόκους τῶν χρημάτων αὐτοῦ, ἀνεχώρησεν εἰς τὴν ἱεράπολιν τῶν Ἰνδῶν Κασσῆν (Μπενάρες). Ἐνταῦθα ἐγκαταλιπὼν πᾶσαν ἄλλην βιωτικὴν φροντίδα, ἐνεδύθη τὴν σεμνὴν τῶν Βραχμάνων στολὴν, καὶ τὰ τούτων ἔθιμα λαβὼν, καὶ τοὺς θειοτέρους καὶ σοφωτέρους τῶν σοφῶν τούτων συναναστρεφόμενος, ἐν διαστήματι 40 περίπου ἐτῶν, οὐ μόνον πᾶσαν τὴν Ἰνδικὴν φιλολογίαν ἔμαθεν, ἀλλὰ καὶ τὴν ὑψηλοτέραν θεοσοφίαν παρὰ τῶν δοκιμωτέρων ἐμυήθη· καὶ εἰς τὸ ἄκρον τῆς ἀρετῆς καὶ σοφίας αὐτῶν τοσοῦτον εὐδοκίμησεν, ὥστε ἐθεωρεῖτο παρά τε τῶν ἀποίκων Ἄγγλων καὶ λοιπῶν Εὐρωπαίων, καὶ παρὰ τῶν σεμνοτέρων Βραχμάνων καὶ λοιπῶν Ἰνδῶν, ὡς ἀνὴρ θεῖος καὶ σοφώτατος.

Εἰς τὸ διάστημα τοῦτο τῶν 40 περίπου ἐτῶν, ὁ ἀοίδιμος Δημήτριος Γαλανὸς ὁ Ἀθηναῖος ἀνέλαβε τὸ κολοσσαῖον, τῷ ὄντι, ἔργον, ἤγουν τὴν ἐκ τῆς Βραχμανικῆς εἰς τὴν Ἑλληνικὴν διάλεκτον μετάφρασιν τῶν σοφωτέρων Ἰνδικῶν συγγραμμάτων, τὸν κατάλογον τῶν ὁποίων ἐκδίδομεν, πρὸς γνῶσιν τῶν φιλομούσων Ἑλλήνων καὶ τῶν καταγινομένων εἰς τὴν Ἰνδικὴν φιλολογίαν Εὐρωπαίων.

Εἰς τὴν μακρὰν ταύτην τῶν χρόνων περίοδον ὁ Γαλανὸς διατηρῶν, ὡς ἐῤῥέθη, πάντοτε τὴν αὐτὴν Ἑλληνικὴν ψυχὴν, συνεχῶς ἔγραφε πρὸς τοὺς συγγενεῖς· ἀλλ' ὁ πατὴρ καὶ ἡ μήτηρ αὐτοῦ εἶχον ἤδη τελευτήσει· ἀπέθανε πρὸς τούτοις ὁ ἀδελφός του Φιλάρετος, ἡ ἀδελφή του Καρυιὰ, καὶ ὁ γαμβρὸς αὐτοῦ Γεώργιος· ἔζων δὲ μόνον οἱ δύο αὐτοῦ ἀνεψιοὶ, ὁ Παναγῆς, υἱὸς τῆς ἀδελφῆς αὐτοῦ, καὶ ὁ Παντολέων, τοῦ ἀδελφοῦ αὐτοῦ Φιλαρέτου, πρὸς τοὺς ὁποίους συνεχῶς γράφων, παρεκίνει ἵνα ὑπάγωσιν εἰς Ἰνδίαν πρὸς συνέντευξιν αὐτοῦ. Ἐξ αὐτῶν ὁ Παναγῆς, ὢν πρεσβύτερος, πρῶτος ὑπῆγεν εἰς ἀντάμωσιν τοῦ θείου του εἰς Κασσὴν, καὶ λαβὼν ἱκανὴν παρ' αὐτοῦ χρημάτων ποσότητα, ἐπέστρεψεν εἰς Ἀθήνας.

Ἀλλ' ἤδη ὁ γηραιὸς Γαλανὸς, πλησιάζων εἰς τὸ ἑβδομηκοστὸν ἔτος τῆς ἡλικίας του, καὶ ἐπιθυμῶν νὰ ἴδῃ, καὶ, ὡς οἷόν τε, νὰ ἐκπαιδεύσῃ τὸν συνώνυμον τοῦ πατρός του ἀνεψιὸν αὐτοῦ Παντολέοντα, τῷ ἔγραψε, παρακινῶν αὐτὸν νὰ ἔλθῃ εἰς Ἰνδίαν, καὶ ὑποσχόμενος, ὅτι μετὰ δύο ἢ τρία ἔτη θέλουσιν ὁμοῦ ἐπιστρέψει εἰς τὴν φίλην αὐτῶν πατρίδα, τὰς Ἀθήνας, τῆς ὁποίας ἡ ἀπελευθέρωσις εἶχε διεγείρει μετ' ἐνθουσιασμοῦ τὰς

χρηστοτέρας ἐλπίδας εἰς τὴν καρδίαν του, ὡς φαίνεται ἐκ τῆς ἑξῆς αὐτοῦ ἐπιστολῆς·

Ἀγαπητέ μου Παντολέων ὑγίαινε, καὶ εὐφρόνει!

»Οὐκ οἶδα τί γράψω σοι! Ἐγὼ μὲν πολλὰ πρὸς σέ, »σὺ δὲ οὐδὲ ψιλὸν ἀσπασμὸν ἔγραψας πρὸς ἐμέ. Ἆρα »τῆς ἀμελείας σου τοῦτο θῶμεν; ἢ τῆς πρὸς ἡμᾶς σου »καταφρονήσεως; Ἄκουε δὲ καὶ ἃ λέγω σοι τελευταῖον. »Εἰ μὲν εὔφρων ὑπάρχεις, καὶ μεγαλόφρων, ἐλθὲ πρὸς »ἐμέ· εἰ δὲ ἄφρων, καὶ μικρόφρων, καὶ μικροπρεπὴς, ἢ »δουλοπρεπὴς, μένε αὐτοῦ, καὶ ἔσο βάρβαρος, καὶ χυδαῖος ἐλαιοπώλης, ἢ οἰνοπώλης, καὶ ὀρυζοπώλης, ἢ »ὀσπριοπώλης. Ἐπειδὴ ἔχεις τὸ ὄνομα τοῦ ἐμοῦ πατρὸς, »τοῦ καλοῦ κἀγαθοῦ ἐκείνου ἀνδρὸς, καὶ νοῦν ὀξὺν, ὡς »ἤκουσα, διὰ τοῦτο ἀγαπῶ, ἵνα ἔλθῃς πρὸς ἐμέ. Ἐγὼ »ἔγραψα πρὸς τοὺς πατέρας τοῦ Σιναίου ὄρους περὶ »τῶν ἐφοδίων σου, ὅταν ἔλθῃς. Λάβε καὶ ὅσα ἔχεις βι- »βλία, καὶ λεξικὰ, καὶ τὴν γραμματικήν. Ἂν ὅμως σὺ »μὴ ἔλθῃς, ἄλλος ἔρχεται, καὶ γίνεται κληρονόμος καὶ »παιδείας καὶ περιουσίας. Ὁ μὲν Ἰσοκράτης γνωμοδοτεῖ, « Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς δι- »δάσκειν τι χρήσιμον ἐπαγγελλομένους.» Οἱ δὲ σοφοὶ τῶν »Ἰνδῶν λέγουσιν, «ὅτι ὁ φρόνιμος ἄνθρωπος ἀφίησι καὶ »οἰκίαν, καὶ οἰκείους, καὶ φίλους, καὶ ξενιτεύει, καὶ κα- »κοπαθεῖ διὰ ζήτησιν καὶ εὕρεσιν μαθήσεως, ἢ χρημάτων.» »Σὺ δὲ, καὶ βλέπων πρόχειρα ὄντα σοι ταῦτα τἀγαθὰ, »οὐ θέλεις δράξασθαι αὐτῶν μετ᾽ὀλίγου πόνου, ἀλλ᾽ἀμε- »λεῖς, καὶ ῥαθυμεῖς, καὶ καθεύδεις, ὡς ὑπὸ μανδραγό-

» ραν. Ἀνάνηψον, ἄνθρωπε, καὶ γνῶθι σαυτόν· ἔσο Προ-
» μηθεύς, ἀλλὰ μὴ Ἐπιμηθεύς.

« Ἐγὼ λέγω σοι μεθ' ὅρκου, καὶ πληροφορῶ, καὶ βε-
» βαιῶ σε, ὅτι μετὰ δύω ἢ τρία ἔτη, ἀφ' οὗ ἔλθῃς, ἀνα-
» χωροῦμεν ἐντεῦθεν, καὶ ἐρχόμεθα εἰς πατρίδα. Τότε
» δὴ τότε ζηλωτὸς ἔσῃ, καὶ μακαριστὸς, δακτυλοδεικτού-
» μενος, καὶ ἐπαινούμενος.

« Καὶ λύπην ἄκραν ἔλαβον, καὶ δάκρυα θερμὰ ἔχυσα
» διὰ τὸν θάνατον τοῦ πατρός σου καὶ ἀδελφοῦ μου Φι-
» λαρέτου. Ἀλλὰ τί ποιήσωμεν; ἢ τί εἴπωμεν; « Ὡς τῷ
» Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. » Ἄκουσον δὲ καὶ τὰ
» ἑξῆς ἑνὸς σοφοῦ Βραχμᾶνος·

« Ἡ μὲν σύναξις τέλος ἔχει τὴν διασκόρπισιν· ἡ δὲ σύ-
» ζευξις τέλος ἔχει τὴν διάζευξιν· ἡ δὲ ἀνύψωσις τέλος ἔχει
» τὴν κατάπτωσιν· ἡ δὲ ζωὴ τέλος ἔχει τὸν θάνατον. »

« Οὐκ ἔγραψάς μοι, πόσα ἐλάβετε, ὅτε ὁ Παναγῆς
» ἔστρεψεν ἐξ Ἰνδίας. Ἀγάπα αὐτὸν ὡς ἀδελφὸν, ἐπειδὴ
» καὶ αὐτὸς σὲ ἀγαπᾷ. Αὐτὸς πολοὺς ἐπαίνους περὶ σοῦ
» ἔγραψέ μοι, ὅταν ἦλθεν εἰς Καλκούταν, ὅτι ὀξύνοιαν
» ἔχεις, καὶ ὅτι μανθάνεις μαθήματα Ἑλληνικὰ, καὶ κλί-
» σιν ἔχεις εἰς μάθησιν· καὶ ὑπόσχεσιν ἔδωκέ μοι μεθ'
» ὅρκου, ὅτι ἐλεύσεται πάλιν εἰς Ἰνδίαν μετὰ σοῦ.

« Μανθάνει ὁ Ἀθανάσιος Ἑλληνικά; ἢ οὐχί; Ὅστις
» μανθάνει, καὶ παιδεύεται, ἐκεῖνον ἐγὼ ἀγαπῶ.—Χαι-
» ρέτισόν μοι τὴν Κυρίαν Μητέρα σου, καὶ πάντας τοὺς
» συγγενεῖς καὶ γνωστούς.— Πάλιν ὑγίαινε, καὶ πάλιν
» εὐφρόνει, ἀγαπητέ μοι Παντολέων.

Δεκεμβ. 1829
Ἐξ Ἰνδίας.

Ὅλος τῆς σῆς ἀγάπης
Δ. ὁ Γαλανός.

»Πέμπω διὰ χειρὸς τῶν Πατέρων ἑκατὸν τάλληρα· »ὅτε δὲ ἔλθωσιν εἰς χεῖρας, ποιήσατε δύω μερίδια, καὶ »τὸ μὲν λάβε σὺ, τὸ δὲ ἡ θεία σου ἡ καὶ ἀδελφή μου »Καρυιά.»

Ὁ Κ. Παντολέων Γαλανὸς ἀποφασίσας τέλος πάντων, ἀνεχώρησε εἰς τὴν Ἰνδίαν, καὶ φθάσας εἰς Καλκούταν ἔγραψεν εἰς Κασσὴν, ἀναγγέλων εἰς τὸν θεῖόν του τὴν ἔλευσιν αὐτοῦ, καὶ παρακινῶν ἵνα ἀμφότεροι ἐπιστρέψωσι τὴν ταχίστην εἰς τὴν Ἑλλάδα.

Χαρὰν μεγάλην ᾐσθάνθη ὁ γηραιὸς Δ. Γαλανὸς μαθὼν τοῦ ἀνεψιοῦ του τὴν ἄφιξιν, τὸν ὁποῖον διέταξεν ἵνα διαμείνῃ εἰς Καλκούταν, σπουδάζων τὴν Ἑλληνικὴν παρά τινι ἐλλογίμῳ ἀνδρὶ καλουμένῳ Ἀνανίᾳ, καὶ συγχρόνως τὴν Ἀγγλικὴν, (τοῦτο συνέβη τῷ 1832) ἕωσοῦ αἱ περιστάσεις τῆς Ἑλλάδος συγχωρήσωσιν εἰς αὐτὸν νὰ ἀφήσῃ τὴν ἱερὰν πόλιν Κασσὴν, ὥστε διαβαίνων ἀπὸ Καλκούταν, νὰ συμπαραλάβῃ τὸν ἀνεψιὸν, καὶ ἀμφότεροι νὰ ἐπιστρέψωσιν εἰς Ἀθήνας, ὅπερ γίνεται δῆλον ἐκ τῆς ἑξῆς ἐπιστολῆς·

Φίλτατέ μοι Παντολέων, ὑγίαινε, καὶ χαῖρε!

«Ἐχάρην, μαθὼν ἀπὸ τοῦ γράμματός σου, ὅπερ ἔπεμ»ψάς μοι ἀπὸ τῆς ὁδοῦ, ὅτι κατευθύνεις τὰ διαβήματά »σου πρὸς ἐμέ· πλέον δ' ἐχάρην, ὅτι μανθάνεις τὰ τῆς »γραμματικῆς παρὰ τοῦ ἐλλογίμου ἀνδρὸς κυρίου Ἀνα»νίου, ὡς σὺ αὐτὸς σημειοῖς, καὶ ὅτι χαρακτῆρα ἔχεις »Ἑλληνικὸν, καὶ πνεῦμα δεξιὸν εἰς μάθησιν, ὡς ἐκεῖνος »ὁ σεβάσμιος ἀνὴρ μαρτυρεῖ. Εὖγε! «ἐὰν ᾖς φιλομα»θὴς, ἔσῃ πολυμαθής.» καὶ, «καλὸν δὲ καὶ γέροντι μαν»θάνειν σφόδρα.»

«Σὺ δὲ νεανικὴν ἔχεις ἡλικίαν, ἣ φέρει πάντα πόνον, »καὶ νοῦν ἔχει στερεὸν καὶ δεξιὸν εἰς μάθησιν.

«Γράψον μοι ἁπλῶς καὶ ἀνυποστόλως, ὁποίαν γνώμην »ἔχεις. Ἐγὼ οὐ κρίνω ὀρθὸν ἀναχωρῆσαι εὐθέως εἰς πα- »τρίδα κατὰ τὸ παρὸν, (ὡς σὺ αὐτὸς θέλεις, σημειῶν ἐν »τῷ πρός ἐμέ σου γράμματι) ἐν ᾧ τὰ τῆς Ἑλλάδος »ἀνώμαλά εἰσι καὶ ἄστατα. Ἀφοῦ γὰρ ἀνεχώρησας ἐκεῖ- »θεν, πολλαὶ στάσεις καὶ μεταβολαὶ ἐγένοντο, ὡς ἀκρι- »βέστερον μαθήσῃ παρὰ τοῦ πολυμαθοῦς φίλου μοι κυ- »ρίου Κωνς. Πανταζῆ, ὃς μανθάνει παρὰ τῶν ἐφημερίδων »πάντα τὰ πανταχοῦ γινόμενα. Ἀνάγνωθι καὶ τὸ πρὸς »ἐκεῖνον τὸν ἀκριβέστατόν μοι φίλον γράμμα μου εἰς »πλείονα νύξιν καὶ εἴδησιν. Πάλιν ὑγίαινε, καὶ πάλιν »χαῖρε.»

Ὀκτωβ. 1, 1832.

ἀπὸ Φανερασίου,

Ὅλος τῆς σῆς ἀγάπης

Δ. ὁ Γαλανός.

«Ἀπόδος ἐξ ἐμοῦ τῷ ἁγίῳ καὶ σεβασμίῳ ἀνδρὶ κυ- »ρίῳ Ἀνανίᾳ τὴν προσήκουσαν πρόσρησιν μετὰ πολ- »λῆς τῆς εὐχαριστείας.

«Λαβὼν ἄδειαν παρὰ τοῦ φίλου κυρίου Κωνς. Πανταζῆ, »ὕπαγε εἰς τὸν οἶκον τοῦ ἑτέρου φίλου μοι κυρίου Μα- »νωλάκη Ἀθανασίου πρὸς χαιρετισμὸν, καὶ φίλησον τὴν »δεξιὰν αὐτοῦ χεῖρα, ὡς ἔθος ἐστιν ἐν τῇ ἡμετέρᾳ πα- »τρίδι τοῖς νεωτέροις ποιεῖν οὕτω πρὸς τοὺς πρεσβυτέ- »ρους, εἰς σημεῖον εὐλαβείας.

«Ὅσον σέβας δεικνύεις πρὸς ἐμὲ, τοσοῦτον καὶ ἔτι

» πλεῖον δείκνυε καὶ πρὸς τὸν ἀκριβέστατόν μοι φίλον » Κωνς. Πανταζῆν· αὐτὸς γάρ ἐστιν ἄλλος ἐγώ. »

Ἀγαπητέ μοι ἀνεψιὲ, ὑγίαινε, καὶ χαῖρε!

« Χθὲς γράμμα σου ἔλαβον, καὶ ἐχάρην διὰ τὸ κατευό-» διόν σου καὶ διὰ τὴν ὑγείαν σου. Οὐκ ἔγραψάς μοι λε-» πτομερῶς περί τε τῆς πατρικῆς σου οἰκίας, περὶ τῶν » συγγενῶν, καὶ περὶ τῆς πατρίδος. Γράψον μοι τοίνυν, » πῶς ἔχει κατὰ τὸ παρὸν ἡ πατρὶς ἡμῶν, νῦν εὐτυχεῖ, » ὅτε ἐλευθέρα ἐστίν; ἢ πρότερον ηὐτύχει, ὅτε ἦν ὑπὸ » ζυγὸν, καὶ ὑπὸ δουλείαν; Γράψον μοι, πῶς ὀνομάζονται » οἱ πρῶτοι καὶ ἄρχοντες τῶν Ἀθηνῶν· γράψον μοι, πῶς » ἔχει ὁ οἶκος τοῦ πατρός σου, καὶ πόσους ἀδελφοὺς ἢ » ἀδελφὰς ἔχεις, καὶ τί τὸ ὄνομα τῆς μητρός σου, καὶ » τίνος ἐστὶ θυγάτηρ.

« Γράψον μοι, πῶς ἔχει ὁ οἶκος τῆς ἀδελφῆς μου Κα-» ρυιᾶς, καὶ ἐκ ποίας ἀῤῥωστίας ἀπέθανεν ὁ Παναγῆς. » γράψον μοι, ἂν ἔχῃς εἴδησιν, ἔδωκεν ὁ Παναγῆς χίλια » τριακόσια ῥούπια τῆς Καλκούτας τῇ Φιλομούσῳ Ἑται-» ρεία; ἢ οὐχί; ἔδωκε καὶ τῷ πατρί σου πεντακόσια ῥού-» πια; ἢ οὐχί; Γράψον μοι, ἔδωκέ σοι γράμμα πρὸς ἐμὲ » ὁ ἅγιος Ταλαντίου; ἢ οὐχί; καὶ τίς ἐστιν αὐτὸς, ἀνε-» ψιός ἐστι τοῦ πνευματικοῦ Συμεὼν, καὶ συγγενὴς ἡ-» μῶν; ἢ ἕτερός τις; καὶ ποῦ κατοικεῖ, ἐν Ἀθήναις, ἢ ἐν » Ταλαντίῳ; Ταῦτα καὶ ἄλλα τοιαῦτα σημείωσον πρὸς » ἐμὴν εἴδησιν, μηδαμῶς ἀμελῶν· ἐκ γὰρ τούτου οὐχὶ » μόνον εἴδησις ἐμοὶ γίνεται τῶν ὧν οὐκ οἶδα, ἀλλὰ καὶ » σοὶ αὐτῷ γύμνασις εἰς τὸ γράφειν. Γράψον γράμμα

» πρὸς τὴν μητέρα σου, δηλοποιῶν, ὅτι ἦλθες εἰς Ἰνδίαν
» αἰσίως καὶ ὑγιῶς, καὶ ὅτι στέλλω πρὸς αὐτὴν ἐφέτος
» ἑκατὸν τάλληρα διὰ τῶν Πατέρων τοῦ Σιναίου ὄρους.
» Αὐτὸ δὲ τὸ γράμμα δὸς τῷ φίλῳ καὶ καλοκἀγάθῳ ἀν-
» δρὶ Κωνς. Πανταζῇ· ὁ δὲ ἐξαποστέλλει αὐτὸ ἐν καιρῷ
» μετὰ τῶν ἐμῶν πρὸς τοὺς Πατέρας.

« Ὅσα γράμματα ἀπὸ πατρίδος ἔχεις πρὸς ἐμὲ, ἐγ-
» χείρισον ταῦτα τῷ Κυρίῳ Κωνς. Πανταζῇ, εἰς τὸ ἐξα-
» ποστεῖλαι πρὸς ἐμὲ ἐν τάχει.

« Χαίρω, ἐπειδὴ ὁ ἄριστος τῶν φίλων μοι καὶ κριτικὸς
» ἀνὴρ Κωνς. Πανταζῆς γράφει μοι, ὅτι ἀγαθὸς ὑπάρχεις
» καὶ ἥσυχος, καὶ ὅτι μέλλεις μετ' ὀλίγον ἀναβῆναι μεθ' ἑ-
» τέρου φίλου, τοῦ κυρίου Πέτρου. Καὶ αὐτὸς ἀγαθός ἐςιν
» ἀνὴρ, φιλαλήθης, καὶ εἰδήμων, ὃν καὶ παρακάλει καὶ
» ἐκλιπάρει, εἰς τὸ μανθάνειν ἀγγλικά. Τί ἄλλο γράψω
» σοι, καὶ συμβουλεύσω σοι; ἀρκεῖ τοσαῦτα πρὸς τὴν νύξιν.

« Ἀπόδος παρ' ἐμοῦ τὴν προσήκουσαν πρόσρησιν τῷ
» τε κυρίῳ Ἀνανίᾳ καὶ τῷ κυρίῳ Βενιαμίν. »

« Πάλιν ὑγίαινε, καὶ πάλιν χαῖρε ».

1832. Δεκ. 14.
Benares.

ὅλος τῆς σῆς ἀγάπης
Δ. ὁ Γαλανός.

« Ἄσπασαί μοι ἡδέως τὸν κὺρ Πέτρον, τὸν κὺρ Ἀθα-
» νάσιον, καὶ τὸν κὺρ Κωνσταντῖνον, τοὺς συμπλεύσαν-
» τάς σοι. Ἀγαθοὶ ἄνδρες καὶ οἱ τρεῖς ».

Κατὰ δυστυχίαν; μόλις παρῆλθεν ἓν ἔτος ἀφ' ὅτου ὁ Κ. Παντολέων διέτριβεν εἰς Καλκούταν, ὅτε ὁ θεῖος

αὐτοῦ Δημήτριος ὁ Γαλανὸς, ἑβδομηκοντούτης ἤδη τὴν ἡλικίαν, ἠσθένησε βαρέως. Ὅθεν, ἀφ' ἑνὸς μὲν εἰδοποίησε τὸν ἀνεψιόν του ἵνα ἔλθῃ τὴν ταχίστην εἰς Κασσὴν, ἀφ' ἑτέρου δὲ, αἰσθανόμενος τὰς δυνάμεις του ἐκλειπούσας, προητοιμάσθη, καὶ συνθέσας ὁ ἴδιος τὴν ἑξῆς διαθήκην, ἐπικυρώσας αὐτὴν, καὶ τὰ περὶ αὐτὸν καλῶς διατάξας, ἀπῆλθεν εἰς τὰς αἰωνίους μονὰς τῇ 3 Μαΐου τοῦ 1833 ἔτους, τῷ 72 ἔτει τῆς ἡλικίας του.

ΑΛΗΘΕΣ ΑΝΤΙΓΡΑΦΟΝ ΤΗΣ ΔΙΑΘΗΚΗΣ ΤΟΥ ΜΑΚΑΡΙΤΟΥ Δ. ΓΑΛΑΝΟΥ.

Εἰς τὸ ὄνομα τοῦ Θεοῦ ἀμήν. Ἐγὼ Δημήτριος Γαλανὸς ἐκ Βερανὲς εἰς τὴν ἐπαρχίαν Ἀλλαχάβαδ, πολίτης, ἔχων σώας καὶ ἐνεργητικὰς τὰς φρένας καὶ τὴν μνήμην μου, κάμνω καὶ διακηρύττω, ὅτι αὕτη εἶναι ἡ τελευταία μου θέλησις καὶ διαθήκη. Ἡ ἰδιοκτησία μου συνίσταται ἀπὸ ὁμολογίας, χρήματα, πράγματα κ.λ.π. ὡς ἑξῆς·

1) Δεκατρεῖς χιλιάδας Ῥούπια (Σίκκα τῆς Καλκούτας), ποσότης τριῶν ὑποσχετικῶν ὁμολογιῶν τοῦ κεφαλαιώδους χρέους τῆς ἐντίμου ἡνωμένης συντροφίας τῶν ἀνατολικῶν Ἰνδιῶν, αἱ ὁποῖαι ἐνδείξεις εὑρίσκονται εἰς τὰς χεῖρας τοῦ ἀποδεδειγμένου ἐπιτρόπου μου Κωνς. Πανταζῆ ἐκ Καλκούτας, εὐγενοῦς.

2) Ἡ ποσότης τοῦ μέρους μου ἀπὸ τὰς ὁμολογίας τοῦ ἐμπορικοῦ καταστήματος τῶν κυρίων Πάλμερ καὶ συντροφίας.

3) Ἡ ποσότης τοῦ μέρους μου ἀπὸ τὰς πιστώσεις τοῦ καταστήματος τῶν κυρίων Μακιντόσχ καὶ συντροφίας.

4) Ἕνδεκα χιλιάδες Ῥούπια (Σίκκα Καλκούτης) ὁμοῦ μὲ τὸν ἀνάλογον τόκον αὐτῶν, περιουσία μου εἰς χεῖρας τῶν πρακτόρων καὶ τραπεζιτῶν μου, κυρίων Φέργουσων καὶ συντροφίας. Διατάττω ὥστε, ἀφοῦ πρῶτον ἐντελῶς πληρωθῶσι καὶ ἱκανοποιηθῶσιν ὅλα μου τὰ χρέη, χαρίσματα, ἐπιτάφια ἔξοδα καὶ βάρη τῆς ἐκτελέσεως ταύτης μου τῆς διαθήκης, καὶ μετὰ τὴν πληρωμὴν αὐτῶν καὶ παντὸς μέρους αὐτῶν, δίδω καὶ χαρίζω εἰς τὸν ἀνεψιόν μου Παντολέοντα Γαλανὸν τὸ ἥμισυ τῆς προειρημένης περιουσίας μου, τὸ δὲ ἄλλο ἥμισυ εἰς τὴν κυριωτέραν Ἀκαδημίαν τῶν Ἀθηνῶν· δίδω πρὸς τούτοις καὶ χαρίζω εἰς τὴν κυριωτέραν Ἀκαδημίαν τῶν Ἀθηνῶν ὅλα μου τὰ Σανσκριτικὰ βιβλία, χειρογράφους μεταφράσεις καὶ τὸ λεξικὸν τοῦ Μινινσκίου εἰς τρεῖς τόμους. Πρὸς τούτοις δίδω καὶ χαρίζω πρὸς τὸν Σοὺρ Ῥὰμ Πουεδίτον μου τὴν ποσότητα διακοσίων Ῥουπίων, εἰς τὸν Μουραδαοὺν, ὑπηρέτην μου, τριάντα Ῥούπια, Ναβάγεν, ὑπηρέτην μου, τριάντα ῥούπια καὶ Βούξεν ὁμοίως ὑπηρέτην μου εἴκοσι ῥούπια. Πρὸς τούτοις ἐπιθυμῶ ἀπὸ τὰ ὀκτακόσια Ῥούπια τὰ νῦν εἰς χεῖρας τοῦ Μούνσλυ Σατοὺλ Σίγγ, τετρακόσια νὰ πληρωθῶσιν εἰς κἀνὲν ὑποκείμενον, ἢ ὑποκείμενα, μὲ νόμιμον ἐξουσίαν, νὰ λάβωσιν αὐτὰ ὡς ἀμοιβὴν γῆς εἰς τὴν αὐλὴν τῆς ἐκκλησίας διὰ τὸν τάφον μου· ἡ δὲ ἄλλη ποσότης τῶν τετρακοσίων Ῥουπίων ἐπιθυμῶ νὰ δοθῇ πρὸς τὸν κύριον Ζὰν Βὲς, διὰ νὰ ἀνεγείρῃ μνημεῖον ἐπὶ τοῦ τάφου μου. Καὶ ὅλον τὸ ὑπόλοιπον καὶ λείψανον τῶν πραγμάτων μου, χρεωστουμένων καὶ πραγματικῶν χρημάτων, ἐπίπλων καὶ ἄλλης μου καταστάσεως ὁποιασδή-

ποτε καὶ ὁπουδήποτε καὶ πραγματικῶς καὶ προσωπικῶς δίδω καὶ χαρίζω αὐτὴν καὶ πᾶν μέρος καὶ τμῆμα αὐτῆς εἰς τὸν ἀνεψιόν μου Παντολέοντα Γαλανὸν, τοὺς ἐπιτρόπους του καὶ φροντιστάς του, καὶ εἰς τὰς ὑπογραφάς του, καὶ διὰ τῆς παρούσης μου ὀνομάζω, ἀποκαθιστῶ καὶ διορίζω τὸν Κωνστ. Πανταζῆν ἐκ Καλκούτας εὐγενῆ, καὶ τὸν Ζὰν Βὲς ἐκ Βενάρες καὶ τὸν κύρ. Λούκιον Βιλλιὰμ Ῥικάμπευ ὁμοίως ἐκ Βενάρες, ἐκτελεστὰς τῆς παρούσης μου διαθήκης, καὶ διὰ ταύτης ἀνακαλῶ καὶ μηδενίζω πᾶσαν προτέραν καὶ ἄλλας μου διαθήκας πρὸ ταύτης γενομένας, καὶ διακηρύττω, ὅτι αὕτη εἶναι ἡ τελευταία μου θέλησις καὶ διαθήκη, εἰς μαρτύριον τῆς ὁποίας ἐγὼ ὁ εἰρημένος διαθέτης ἔβαλα τὴν ὑπογραφὴν καὶ σφραγίδα μου εἰς ταύτην τὴν τελευταίαν θέλησιν καὶ διαθήκην μου, τὴν 29 εἰκοστὴν ἐννάτην ἡμέραν τοῦ Ἀπριλίου, τοῦ ἔτους τοῦ Κυρίου ἡμῶν χιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ τρίτου.

Δημήτριος Γαλανός.

(Τ. Σ.)

Ὑπογραφὲν, σφραγισθὲν, δημοσιευθὲν καὶ διακηρυχθὲν παρὰ τοῦ εἰρημένου Δημητρίου Γαλανοῦ ὡς ἡ τελευταία του θέλησις καὶ διαθήκη ἐνώπιον ἡμῶν, οἵτινες κατ' αἴτησίν του καὶ ἐπὶ παρουσίᾳ του ὑπεγράψαμεν τὰ ὀνόματά μας ὡς μάρτυρες τῆς ὑποθέσεως.

Ιωα. Βαϊλλιέ.

Ι. Δαβιδσών.

Ῥ. Στεβάρτ.

Ἀληθὲς ἀντίγραφον, ἐπιμελῶς παραβληθὲν, τὴν 28. ἡμέραν τοῦ Μαΐου 1833 ἀπὸ ἐμὲ, μὲ τὸ εἰς τὰ ἀρχεῖα τῆς ὑπερτάτης δικαστικῆς αὐλῆς τοῦ Φόρτ. Βιλλιὰμ ἐν Βεγγαλίᾳ εὑρισκόμενον πρωτότυπον.

Β. Ἑ. Σμάουλτ.

ἀρχειοφύλαξ.

Μετεφράσθη παρὰ τοῦ Γ. Ψύλλα τὴν 25. Φεβρ. 1839 ἐν Ἀθήναις.

Ἐν τούτοις ὁ ἀνεψιός του Παντολέων, μαθὼν τὴν ἀσθένειαν τοῦ θείου του, ἔδραμεν εἰς Κασσήν· ἀλλ' ὁ ἀοίδιμος Δ. Γαλανὸς ἐτελεύτησε πρὸ εἴκοσι ἡμερῶν τῆς ἀφίξεώς του, καὶ ἐτάφη εἰς τὸ Ἀγγλικὸν κοινοταφεῖον τῆς Κασσῆς (Benares)· ἐπὶ δὲ τοῦ μνημείου αὐτοῦ ἐτέθη ἡ ἑξῆς Ἀγγλικὴ ἐπιγραφή·

SACRED
TO THE MEMORY
OF
DEMETRIUS GALANOS
AN ATHENIAN WHO DIED AT BENARES
IN THE EAST INDIES ON THE 3ed OF MAY
1833
AGED 72 YEARES.

Βραχμὰν δέ τις σοφός, φίλος καὶ διδάσκαλος τοῦ ἀοιδίμου Γαλανοῦ, καλούμενος Μονσῆς Σιτελσὴν, φιλοφρόνως ὑποδεχθεὶς τὸν ἀνεψιὸν αὐτοῦ, καὶ μετ' αὐτοῦ πικρῶς κλαύσας τὸν θάνατον τοῦ Γαλανοῦ, ἐπέγραψεν Ἰνδοςανιςὶ ἐπιτύμβιον, ἔχον τὴν ἑξῆς ἔννοιαν·

Βαβαὶ ἑκατοντάκις! Ὅτ' ὁ Δημήτριος Γαλανὸς
Ἀπῆλθεν ἐκ τοῦ Κόσμου τούτου εἰς τὰς αἰωνίους μονὰς,
Μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ τὸ οἴμοι! εἶπον ἔξω φρενῶν·
Ἀπῆλθε φεῦ! ὁ Πλάτων τοῦ Αἰῶνος.

Ὁ δὲ Κ. Παντολέων Γαλανὸς ἀνήγειρεν εἰς τὴν ἐν Καλκούτῃ ἀνατολικὴν ἐκκλησίαν στήλην, εἰς ἣν ἐπέ-

γραψε πρὸς μνήμην τοῦ θείου αὐτοῦ τὴν ἀκόλουθον ἐπιγραφὴν, συνταχθεῖσαν ὑπὸ τοῦ ἐκ Σεῤῥῶν πρωτοσυγγέλλου Σιναΐτου, Κυρίου Ἀνανίου·

Ὁ ἐξ Ἑλλάδος Γαλανὸς Ἀθηναῖος
Τέθνηκε Δημήτριος ἐν γῇ Ἰνδίας!
Μουσῶν δ' ὢν φίλος ὁ ἀνὴρ καὶ παιδείας
Λαμπρὸς κατέστη τῇ φήμῃ καὶ τῇ κλήσει.
Λιπὼν δὲ τόνδε τὸν πολύμοχθον βίον
Ἀπῆλθεν εἰς ἄλυπον καὶ ἀΐδιον βίον.
Ἵστησι τοίνυν εὐγνωμοσύνης χάριν
Ὁ ἀδελφιδοῦς αὐτοῦ τόδε Κενοταφεῖον,
Ὁ Παντολέων, εἰς ἀΐδιον μνήμην.

Ἡ χρηματικὴ κατάστασις τοῦ ἀοιδίμου Δημητρίου Γαλανοῦ συνίστατο εἰς ὀγδοήκοντα περίπου χιλιάδας δραχμῶν. Ἐξ αὐτῶν ἀφαιρέσας τοὺς πρὸς τοὺς ὑπηρέτας αὐτοῦ μισθοὺς, ἀμοιβὰς, τὰ περὶ κηδείας καὶ τ. λ. διήρεσε τὴν λοιπὴν εἰς δύο ἴσα μέρη· καὶ τὸ μὲν ἄφησεν εἰς τὸν ἀγαθὸν ἀνεψιόν του Παντολέοντα Γαλανὸν, παρὰ τοῦ ὁποίου ἐλάβομεν τὰς πλειοτέρας περὶ τοῦ βίου καὶ ἀποβιώσεως αὐτοῦ πληροφορίας, καὶ οὐχ' ἧττον παρὰ τοῦ συγγενοῦς αὐτοῦ, τοῦ Ἱεράρχου Ἀττικῆς Κ. Νεοφύτου. Τὰς δὲ λοιπὰς ἤτοι 36000 δραχμῶν ἀφιέρωσεν εἰς τὴν Ἀκαδημίαν τῆς πατρίδος του, αἵτινες ἐδαπανήθησαν εἰς τὴν ἀνέγερσιν τοῦ ἐν Ἀθήναις Πανεπιστημίου. Εἰς τὸ αὐτὸ κατάστημα ἄφησε καὶ ἅπαντα τὰ πολύτιμα αὐτοῦ χειρόγραφα, τῶν ὁποίων ἕπεται ὁ κατάλογος.

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΔΙΑΣΩΘΕΝΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ.

Α) *ΒΑΛΑΒΑΡΑΤΑ, ΣΥΝΤΟΜΗ ΤΗΣ ΜΑΧΑΒΑΡΑΤΑΣ, μεταγλωτισθεῖσα ἀπὸ τοῦ Βραχμανικοῦ παρὰ Δημητρίου Γαλανοῦ τοῦ Ἀθηναίου.*

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἔστω μοι ἵλεως ὁ υἱὸς τῆς Σατεβατῆς (1), ὃς συνέγραψε τὴν θείαν Μαχαβαράταν, ἡ ὁδός ἐστι τῶν ἀγαθῶν ἀνδρῶν, οὖσα ἄνευ ἀκανθῶν, καὶ πηλοῦ, καὶ βορβόρου, καὶ ἄγουσα εἰς ὄψιν τοῦ ὑψίστου Θείου.

2. Ἔστω πᾶς τις τῶν ἀνθρώπων προσηλωμένος τὸν νοῦν ἐκείνῳ τῷ λαμπρῷ Θείῳ (2), οὗ ὥς περ δύο χεῖρές εἰσιν ὁ Ἥλιος καὶ ἡ Σελήνη, οἳ φῶς διδόασιν ἀεννάως τῷ κόσμῳ ταῖς ἑαυτῶν ἀκτῖσιν.

3. Αὕτη ἡ Σελήνη (3) ἧς γεννήτωρ πέφυκεν ὁ Ὠκεανός, ἔχει σῶμα πλῆρες ἀγαθοῦ (4), καὶ ἀνάψυξιν ᾀεὶ

---

(1) Ἐν τῷ πρώτῳ στίχῳ ὁ ποιητὴς ἐξευμενίζει τὸν υἱὸν τῆς Σατεβατῆς, ὅς ἐστιν ὁ Βεάσας, διότι συντέμνει τὸ ποίημα αὐτοῦ, ὃ καὶ ἐπαινεῖ λίαν, ὡς ὢν αἴτιον τῆς πρὸς τὸν Θεὸν ἀφίξεως τῶν ἀγαθῶν ἀνδρῶν.

(2) Ἐν τῷ δευτέρῳ στίχῳ ὕμνον ποιεῖ εἰς Θεόν.

(3) Ἐντεῦθεν ἄρχεται τῆς ὑποθέσεως, ὕμνον ποιῶν εἰς τὴν Σελήνην, ἐξ ἧς κατάγονται οἱ ἐν τῷ ποιήματι τούτῳ ᾀδόμενοι ἥρωες, καὶ ἡμίθεοι.

(4) Πλήρης παντὸς ἀγαθοῦ λέγεται παρ' Ἰνδοῖς ἡ Σελήνη, ἐπειδὴ ἀναψύχει καὶ ζωογονεῖ τὸ πᾶν διὰ τῶν δροσιστικῶν αὐτῆς ἀκτίνων· ὅθεν καὶ νομίζεται, ὅτι ἀμβροσίαν ἔχει ἐν ἑαυτῇ.

φέρει τοῖς ἐν κόσμῳ, τῷ ἀγλαῷ καὶ ἀναψυκτικῷ χυμῷ τῆς ἧς ἔχει ἀμβροσίας.

4. Ἆρα ὁ Ἥλιος, ὁ ὢν θερμὸς ὡς τὸ πῦρ, σχοίη ἄν ποτε σύγκρισιν ταύτῃ τῇ Σελήνῃ (1), ἡ ἐγχέουσα τῇ γῇ τὴν λαμπρὰν αὐτῆς ἀμβροσίαν, ἀναιρεῖ πάντα ζόφον;

5. Καὶ ὁ Ἔρως αὐτὸς, καί περ φέρων ἄνθινα ὅπλα (2), φήμην ἔλαβεν ἀναμφίδοξον, ὅτι νικᾷ ἐν τοῖς τρισὶ κόσμοις δι' αὐτῆς τῆς Σελήνης (3), φίλα αὐτῷ φρονούσης, καὶ συνεργούσης εἰς νίκην, καὶ φερομένης ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα, τοῦ νικήσαντος τὸν Ἔρωτα.

6. Αὕτη ἡ Σελήνη φέρεται ἀεὶ ὑπὸ τοῦ Σίβα, οὐχ' ὅλη, ἀλλὰ μέρος ἐπὶ κεφαλῆς (4) δι' οἵαν δή τινα αἰτίαν,

---

(1) Ἐνταῦθα ἐπαινεῖ τὴν Σελήνην, ὡς κρείττονα τοῦ Ἡλίου· ἡ μὲν γὰρ λάμπει ἀκτίσιν ὑγραῖς καὶ δροσιστικαῖς· ὁ δὲ θερμαῖς καὶ καυστικαῖς.

(2) Ὁ Ἔρως παρ' Ἰνδοῖς γράφεται φέρων βέλη οὐ σιδηρᾶ, ἀλλ' ἄνθινα.

(3) Οἱ φιλόσοφοι τῶν Ἰνδῶν λέγουσιν, ὅτι ἡ Σελήνη διεγερτική ἐστι τοῦ Ἔρωτος, διὰ τὸ ὑγρόν. Ὅθεν παρ' αὐτοῖς καὶ ἔστι καὶ λέγεται ἐρωτικὴ, καὶ ἐκ τούτου φιλική πως ἐστὶ τῷ Ἔρωτι, καὶ ἐπίκουρος αὐτῷ εἰς νίκην. Καὶ ὁ Ποιητὴς δὴ οὗτος εἰς ἔπαινον τῆς Σελήνης λέγει, ὅτι διὰ τῆς φιλίας καὶ βοηθείας αὐτῆς, καὶ ὁ Ἔρως, ὃς φέρει βέλη ἄνθινα, δηλαδὴ ἀδρανῆ, ὄνομα μέγα ἔλαβεν, ὅτι νικᾷ ἐν τοῖς τρισὶ κόσμοις, (τρεῖς γὰρ κόσμοι δοξάζονται παρ' Ἰνδοῖς γενικῶς, οὐράνιος, ἐπιχθόνιος καὶ ὑποχθόνιος) καὶ θεοὺς, καὶ ἀνθρώπους καὶ δαίμονας.

(4) Οἱονεὶ ἔλεγε· Τοσοῦτον πάντιμόν ἐστιν ἡ Σελήνη, ὥστε καὶ τὸν Θεὸν Σίβαν θεῖναι αὐτὴν, οὐχ' ὅλην, ἀλλὰ τὴν ἡμισείαν ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ· (ὁ γὰρ Σίβας γράφεται φέρων τὸ ἡμισέληνον ἐπὶ τοῦ βρέγματος αὐτοῦ) δι' οἵαν δή τινα αἰτίαν, καί τοι ἔχει φιλικῶς τῷ Ἔρωτι, ὃς ἐχθρὸς τοῦ Σίβα λογίζεται, τοῦ νικήσαντος καὶ καταβαλόντος αὐτὸν, ὡς ἐν τῷ ἀνωτέρῳ στίχῳ εἴρηται. Μυθολογεῖται ὅτι, τοῦ Σίβα ὄντος ποτε ἐν θεωρίᾳ νοὸς, ὁ Ἔρως παρέστη αὐτῷ, πειράσαι θέλων· αἰσθόμενος δ' ὁ Σίβας γαργαλισμοῦ ἔρωτος ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀνοίξας τοὺς ὀφθαλμοὺς, καὶ ἰδὼν

καί περ οὔσης ἀγλαᾶς ἐκ τοῦ ῥείθρου τοῦ ποταμοῦ Γάγγου, τοῦ καταῤῥέοντος ἐκ τοῦ οὐρανοῦ (1).

7. Ταύτης δὲ τῆς Σελήνης (2) ἡ γυνὴ, ᾗ ὄνομα Ῥοχινὴ (3), φίλτρον ἔχει διακαὲς, καὶ μόνη αὐτὴ θεραπεύει τὸ τραῦμα αὐτῆς τῆς Σελήνης, τὸ ἐκ τοῦ βέλους τοῦ Ἔρωτος. Τῆς δὲ Ῥοχινῆς τὴν μορφὴν διανοουμένη ἀεὶ ἀτενῆ τῇ διανοίᾳ ἡ Σελήνη, ὁμοιόμορφος αὐτῇ ἐγένετο (συμφυὴς ταύτῃ γίνεται).

8. Τῇ μὲν οὖν Σελήνῃ ταύτῃ καὶ τῇ Ῥοχινῇ υἱὸς γίνεται, ὅμοιος κατὰ τὴν μορφὴν ἀμφοτέροις τοῖς γεννήτορσιν, ᾧ ὄνομα Βούδας (4), παρὰ τὸ εἶναι ἔννους. Ὁ δὲ μέγας ἐχθρὸς Ῥαχοῦς (5), καί περ λυμεὼν ὢν

παριστάμενον τὸν Ἔρωτα, τόξον ἔχοντα ἐντεταμένον, ἀπετέφρωσεν αὐτόν. Τῶν δὲ Θεῶν μεσιτευσάντων, ἀνεζώωσεν αὐτὸν ὁ Σίβας, ἵνα μὴ τὸ πᾶν διαφθαρείη· ἐξ ἔρωτος γὰρ καὶ συνουσίας τὸ πᾶν συνίσταται καὶ διαμένει.

(1) Μυθολογεῖται ὅτι ὁ Γάγγης ποταμὸς καταῤῥέει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα ἐν τῷ ὄρει Ἰμαῷ, ἐκ δὲ τῆς κορυφῆς τοῦ Σίβα ἐπὶ τὴν γῆν τῆς Ἰνδίας.

(2) Ἐνταῦθα ἄρχεται τῆς κατὰ τὴν Σελήνην γενεαλογίας. Σημείωσαι δὲ, ὅτι παρ' Ἰνδοῖς ἡ Σελήνη ἀρσενικῷ γένει λέγεται.

(3) Ῥοχινὴ, Νύμφη, θυγάτηρ τοῦ Πάξα, πάγκαλος· ἔστι δὲ καὶ ὄνοάστέρος.

(4) Ὁ Βούδας παρ' Ἰνδοῖς ἐστιν ὁ παρ' Ἕλλησιν Ἑρμῆς, ὃς ἦν ἐλλογιμώτατος καὶ ἀστρονομικώτατος· ἐτυμολογεῖ τὴν λέξιν ὁ Ποιητής· Βούδας γὰρ λέγεται ὁ νοήμων καὶ ἔμφρων.

(5) Ὁ Ῥαχοῦς μυθευόμενός ἐστι Δαίμων, ὃς δοξάζεται κοινῶς, ὅτι προσεγγίζων τῇ Σελήνῃ, εἰς τὸ καταπιεῖν αὐτὴν, προξενεῖ τὴν φαινομένην ἔκλειψιν· διὰ τοῦτο μέχρι τῆς σήμερον οἱ Ἰνδοὶ ἐν τῇ ἐκλείψει ἐν πολλῇ εἰσιν ἀγωνίᾳ ψυχῆς καὶ μετανοίᾳ, δεόμενοι θερμῶς, καὶ λουόμενοι εὐλαβῶς, καὶ πολλὰ τοῖς πένησι διδόντες, εἰς τὸ ἐξιλεῶσαι τὸν Δαίμονα, τὸν ἐχθρὸν καὶ λυμαντῆρα τῆς Σελήνης.

τῆς Σελήνης, οὐ λυμαίνεται ὅμως αὐτῆς, διότι σύνεστι τῷ υἱῷ αὐτῆς Βούδᾳ (1).

9. Ἡσθεὶς δ' ὁ Ἥλιος τῇ πολλῇ θεραπείᾳ τούτου τοῦ Βούδα, διηνεκῶς συναυλιζομένου αὐτῷ (2), μεταδίδωσι τοῦ ἑαυτοῦ φωτὸς τῇ Σελήνῃ κατ' ἀνάλογον αὔξησιν (3), καίπερ ἀπεχθῶς διακειμένη τῷ Λωτῷ καὶ τῷ Κόκᾳ, τοῖς φίλοις τοῦ Ἡλίου (4).

10. Ὁ δὴ Βούδας οὗτος, ὃς ἦν τρυφηλὸς, καὶ σοβαρὸν εἶχε βάδισμα, ὡς τὸ τοῦ χηνὸς καὶ τοῦ ἐλέφαντος, καὶ ὑπερέβαινε τῷ κάλλει τὸν λίαν ἐπαιρόμενον Ἔρωτα,

11. Πορευθεὶς ποτε ἅμα τοῖς ἑτέροις εἰς τὴν κορυφὴν τοῦ ὄρους Ἰμαοῦ, ἔστρεφε πολλάκις, νεανιευόμε-

---

(1) Λέγουσιν ὡς κατὰ τὴν ἔνην καὶ νέαν συνοδεύει ὁ Ἑρμῆς τῇ Σελήνῃ. Ὁ γὰρ Βούδας, καθὸ ἀστρονόμος ἔμπειρος, ἀπέδειξεν, ὅτι τὸ πάθος τῆς Σελήνης, ἡ ἔκλειψις, ἐκ φύσεως γίνεται, καὶ οὐχὶ ἐκ τοῦ μυθευομένου Δαίμονος, βουλομένου λυμήνασθαι τῇ Σελήνῃ.

(2) Λέγουσιν ὡς ὁ ἀστὴρ Ἑρμῆς συνοδεύει ἀεὶ τῷ Ἡλίῳ.

(3) Θεωρῶν δηλονότι ὁ Βούδας, καθὸ ἀστρονομικὸς, καὶ τὰ τοῦ Ἡλίου, ἀπέδειξεν, ὅτι ἡ Σελήνη ἐρανίζεται τὸ φῶς ἐκ τοῦ Ἡλίου.

(4) Ἐνταῦθα ἐννοείσθω ἡ νὺξ, καθ' ἣν ἡ Σελήνη λάμπει· ἐν γὰρ τῇ νυκτὶ ἀμφότερα ταῦτα συμπάσχουσιν, ὅ,τε Λωτὸς, ὅς ἐστιν ἄνθος, ὅ,τε Κόκας, ὅς ἐστιν εἶδος ὄρνιθος, ὅμοιός πως νήσσῃ, καὶ ἐμφιλοχωρεῖ τοῖς ὕδασιν. Ὁ μὲν γὰρ Λωτὸς, ὅταν ὁ Ἥλιος ἀνατέλλων, λάμπῃ, λάμπει καὶ αὐτὸς, καὶ χάνυται, ἀνοιγόμενος· ὅταν δὲ δύῃ, δύει καὶ αὐτὸς συγκλειόμενος. Τοῦ δὲ ὀρνέου τούτου Κόκα, τὸ ἄῤῥεν καὶ τὸ θῆλυ, ἐν μὲν τῇ ἡμέρᾳ συνδιαιτῶνται ἀλλήλοις, καὶ συζεύγνυνται· ἐν δὲ τῇ νυκτὶ διαζεύγνυνται, καὶ τὸ μὲν μένει ἐπὶ τῆς μιᾶς ἄκρας τοῦ ποταμοῦ ἢ τῆς λίμνης, τὸ δὲ ἐπὶ θατέρας· καὶ ὅταν τὸ ἓν κλάζῃ ἐκ τοῦ ἑνὸς μέρους, κλάζει καὶ θάτερον ἐκ θατέρου. Τοσοῦτον δὲ φιλάλληλόν ἐστι τὸ ζεῦγος τοῦτο, ὥστε, τοῦ ἑνὸς ἀποθανόντος, συναποθνήσκει καὶ τὸ ἕτερον ἐκ λύπης καὶ μελαγχολίας. Κόκας ἐστὶν ὁ Χηναλώπηξ.

νος, τὸν δίκην Βομβυλίου ῥεμβώδη ὀφθαλμὸν αὐτοῦ εἰς ἄλση διάφορα, ἀνθοφοροῦντα καὶ θάλλοντα.

12. Ἐνταῦθα εἶδεν ἐξαίφνης μίαν γυναῖκα ἐλαφῶπιν (1), μόνην βαδίζουσαν ἀγλαῶς καὶ σοβαρῶς ἐν τοῖς ἄλσεσι, κατοικητήριον οὖσαν τοῦ Ἔρωτος, καὶ πηγὴν ἀμβροσίας τοῖς ὀφθαλμοῖς τῶν θεωμένων.

13. Ἐκ δὲ τοιαύτης ἀγλαᾶς θέας ἐπήρθη (2) καὶ μακάριον ἐνόμισε τὸν ὀφθαλμὸν ἑαυτοῦ αὐτὸς ὁ μεγαλοφυής· διὸ ἐθεώρει ἀσκαρδαμυκτὶ αὐτήν, ἀφεὶς τὴν θεωρίαν τοῦ ἄλσους, ὡς ἄχρηστον.

14. Πίνων δ' ὥσπερ φύλλοις λωτοῦ (3), τοῖς ἑαυτοῦ ὄμμασι τὴν τοῦ σεληνιαίου προσώπου αὐτῆς ἀμβροσίαν, οὐκ ἔτυχε κόρου· ἀλλὰ καὶ οὕτως, ἔσειεν ἐν ταὐτῷ τὴν κεφαλὴν αὐτοῦ (4).

15. Προσηλωμένον δ' ἔχων τὸν ὀφθαλμὸν οὗτος ὁ

(1) Οἱ Ἰνδοὶ ἐπὶ ἐπαίνου ὀφθαλμῶν φέρουσι παραδειγματικῶς τὴν ἔλαφον, ἥτις ἔχει ὄμματα μεγάλα, μέλανα καὶ μακροειδῆ· ἐπαινεῖται γὰρ παρ' αὐτοῖς καὶ διὰ πολλοῦ τιμᾶται τὸ μακροειδὲς (ἀμυγδαλοειδὲς) τοῦ ὄμματος.

(2) Τουτέστιν, ἐπειδὴ ἐνόμιζε τὸν ὀφθαλμὸν ἑαυτοῦ ἀνάξιον τοῦ βλέπειν καὶ ἐν ἀκαρεῖ τοιαύτην χαρίεσσαν ὄψιν, διὰ τοῦτο τότε εἰς τὰ μάλιστα ἐπήρθη, βλέπων αὐτὴν διὰ πολλοῦ. Ὑπερβολὴ δ' ἐστιν ἐπαίνου τῆς ὡραιότητος αὐτῆς.

(3) Μεταφορᾷ ὁμοιωματικῇ χρῆται ὁ Ποιητής· καθὼς γὰρ ὁ πίνων ὕδατος, χρῆται τῇ δρακί, οὕτω καὶ ὁ Βούδας, χρησάμενος τοῖς βλεφάροις αὐτοῦ, ὡς δραξίν, ἔπιε, τουτέστιν ἠρύσατο εἰς τὰ ὄμματα αὐτοῦ τὴν ἀμβροσίαν ἐκείνης. Ἡ δὲ μεταφορὰ πάνυ ἀστεία· κοῖλα γὰρ τὰ βλέφαρα, καθὼς καὶ αἱ δράκες, δι' ὧν ἀρυόμενοι ὕδωρ οἱ ἄνθρωποι πίνουσι.

(4) Εὐφραίνετο δηλονότι, ὡς κορεσθείς· ἴδιον γὰρ τῶν Ἰνδῶν, ὅταν ἀκούωσιν ἢ βλέπωσί τι λίαν θυμήρες καὶ θυμηδές, τὸ ὑποσείειν τὴν κεφαλὴν αὐτῶν, ὡς σημεῖον θαύματος καὶ κόρου.

υἱός τῆς Σελήνης ταύτῃ τῇ ἐκ τύχης ἀγαθῆς προσπεσούσῃ θυμηδῆ θέᾳ τῆς ἀγλαίας τοῦ σώματος ἐκείνης, διελογίζετο οὕτως ἐν ἑαυτῷ, ἐκ θαύματος καὶ φίλτρου μειδιῶν.

16. « Ποῦ γῆς ἡ ὕπαρξις ταύτης (1); ἀλλ' οὐδὲ » τὸ κάλλος τῶν ὑπὸ γῆν θηλείων ὄφεων τοιοῦτόν ἐστι, » κατακεκαυμένων τὴν ἀγλαίαν ἐκ τοῦ οὗ ἔχουσι φαρ» μάκου. Ἀλλὰ καὶ ἡ μορφὴ τῶν θεαινῶν ἐθεάθη μοι· » τέταρτος δὲ κόσμος οὐκ ἔστιν οὐδαμῇ· »

17. « Μῶν ἡ Μενὰ, ἡ γυνὴ τοῦ βασιλέως τῶν ὀ» ρέων Ἰμαοῦ, ἐγέννησε ταύτην ἐνταῦθα, ἄλλην Γαου» ρὴν, γενησομένην σύνευνον τοῦ Βραχμᾶ, ἢ τοῦ Βι» σνοῦ; κ. τ. λ. . . . .

162. Στεργέτω ὡς τέκνον ἑαυτῆς, τοῦτό μου τὸ ποίημα ἡ ἱστορικὴ Μαχαβαράτα, ἧς ἀκούσας ὁ ὑμνολόγος Οὐγρασραβᾶς παρὰ τοῦ Βαϊσαμπαϊάνα (2) ἐν τῇ ὀφιοθυσίᾳ τοῦ Ζαναμαζαία, ἀφηγήσατο αὐτὴν ἐν τῇ θυσίᾳ τοῦ Σαουνάκα, τοῦ ἀρχηγοῦ πολλῶν ὁσίων, ἐν τῷ ἄλσει Ναϊμίσσᾳ.

163. Σεβέσθω ὁ Ἀμάρας, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα. Διαμενέτω ἐς ἀεὶ αὕτη ἡ Βαλαβαράτα, τὸ μέγα

(1) Ἀπορεῖ ἐνταῦθα, θαυμάζων ὁ Βούδας, ὅτι οὔτ' ἐν γῇ τοιοῦτον πότ' ἐγένετο κάλλος γυναικεῖον, οὔθ' ὑπὸ γῆν, ἔνθα οἱ μυθευόμενοι ὄφεις διάγουσιν, οὔτε μὴν ἐν οὐρανῷ, ἔνθα οἱ θεοί. Ἵνα δὲ μὴ εἴπῃ τις, ὅτι ἀλλαχοῦ που ἐγένετο, διὰ τοῦτο ἐπιφέρει, ὅτι τέταρτος κόσμος οὐκ ἔστιν, ἔνθα κάλλος τοιοῦτον γεννᾶται· ὑπερβολὴ δέ ἐστιν ἐπαίνου.

(2) Ὁ Βαϊσαμπαϊάνας ἀφηγήσατο τὰ τῆς Μαχαβαράτας ἔμπροσθεν τοῦ βασιλέως Ζαναμεζαΐα ἐν τῇ ὀφιοθυσίᾳ.

ποίημα, τὸ ποιηθὲν ὑπ' ἐκείνου τοῦ 'Αμάρα, καὶ ἀγλαϊσθὲν εἰς χαρὰν τῆς καρδίας τῶν σοφῶν ἀνδρῶν, ἐν οἷς οἰκεῖ ἡ θεὰ τοῦ λόγου.

'Εν ταύτῃ τῇ Σάργᾳ, ἣ ὀνομάζεται Ἀστείκα, ἐμπεριέχονται διακόσιοι πεντήκοντα στίχοι, κατὰ τὸ μέτρον τοῦ 'Ανουστούπα.

Τέλος τοῦ τεσσαρακοστοῦ τρίτου κεφαλαίου, ὃ ὀνομάζεται 'Αστείκα, τῆς Βαλαβαράτας, τοῦ μεγάλου ποιήματος, τοῦ ποιηθέντος ὑπὸ τοῦ σοφοῦ 'Αμάρα, μαθητοῦ τοῦ σοφοῦ Ζηναδάτα.

ΤΕΛΟΣ ΤΗΣ ΒΑΛΑΒΑΡΑΤΑΣ.

Β) ΒΑΓΑΒΑΤΑ, μεταγλωττισθεῖσα ἀπὸ τοῦ Βραχμανικοῦ παρὰ Δημητρίου Γαλανοῦ τοῦ Ἀθηναίου.

Τὰ διασωθέντα χειρόγραφα περιέχουσιν ἀκέραια τὸ πρῶτον μέχρι τοῦ τετάρτου Βιβλίου, διστίχ. 32, ὅπερ λήγει «τῶν δεινῶν τῶν γινομένων»· ἐξῆς λείπει ἡ συνέχεια μέχρι τοῦ πέμπτου Βιβλίου, ἐμπεριεχομένου μέχρι τοῦ ΙΓ' Κεφ., διστίχου 5, τὸ ὁποῖον τελευτᾷ «ὡς κυματίζον ὕδωρ». Μετὰ τὸ Ε', βιβλ. λείπει ἡ συνέχεια μέχρι τοῦ δεκάτου βιβλίου, ἐμπεριεχομένου μέχρι τοῦ ΛΑ' Κεφαλ. διστίχου 7 τελευτῶντος «μετάθες τὸν ἐμὸν ἔρωτα». Τὰ ἐξῆς μέχρι τοῦ τέλους, ἢ δὲν μετεφράσθησαν, ἢ (ὅπερ εἶναι πιθανώτερον) ἐχάθησαν φεῦ! πρὶν ἔλθωσιν εἰς χεῖρας ἡμῶν τὰ πολύτιμα ταῦτα χειρόγραφα.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἐξ οὗ τῆς παρουσίας καὶ ἀπουσίας (1) ἡ γένεσις, καὶ ὕπαρξις, καὶ φθορά ἐστι τῶν τοῦ κόσμου τούτου, καὶ ὅς ἐστιν ἔννους καὶ αὐτομαθὴς, καὶ ὃς ἀναπτύξας ἀπεκάλυψε νοερῶς τὴν Βέδαν τῷ ἀρχισοφῷ Βραχμᾷ, ἐν ᾗ Βέδᾳ καὶ οἱ σοφοὶ ἰλιγγιῶσι, καὶ ἐν ᾧ ἡ τῶν τριῶν ποιοτήτων ὕπαρξις ψευδής ἐστι καὶ ἀνύπαρκτος, καθὼς ἐν τῇ ὀξείᾳ θερμότητι τοῦ ἡλίου καὶ ἐν τῷ ὕδατι καὶ ἐν τῷ κατόπτρῳ τὸ ἐναντίον καὶ ἀνυπόστατόν ἐστι τε καὶ φαίνεται· ἐκεῖνον τὸν ἐκ τῆς οἰκείας αὐγῆς ἐς ἀεὶ ἄϋλον, καὶ ἀληθῆ, καὶ ὑπέρτατον ἐν νῷ θεωρήσωμεν (ἐν πνεύματι δοξάσωμεν).

Ἐν τούτῳ τῷ περικαλλεῖ θείῳ βιβλίῳ, τῷ διὰ τοῦ Θεοῦ πεποιημένῳ, ἡ ἀνυπόκριτος πίστις καὶ λατρεία τῶν ἀφθόνων τε καὶ χρηστῶν ἀνθρώπων ἐμπεριέχεται, καὶ διὰ τούτου τὸ Ὂν διαγινώσκεται, τὸ ἀγαθῶν παρεκτικὸν, καὶ τῶν τριῶν παθῶν ἐκριζωτικόν. Τί οὖν; ἆρα ἐμμένει ὁ Θεὸς αὐθημερὸν τῇ καρδίᾳ δι' ἄλλων τινων βιβλίων; ἀλλὰ διάγε τούτου αὐθωρὸν ἐμμένει τοῖς ἀγαθοῖς καὶ φιλακροάμοσιν.

Ὦ εἰδήμονες τῆς γεύσεως παντὸς χυμοῦ, γεύεσθε συνεχῶς ἐφ' ὅρου ζωῆς ταύτης τῆς Βαγαβάτας, ἥ ἐστιν ὀπώρα τοῦ πανδώρου δένδρου, τουτέστι τῆς Βέδας, πέπειρος καὶ γλυκύχυμος, πεσοῦσα ἐκ τοῦ στόματος τοῦ Σούκα. κ.τ.λ.

---

(1) Τὸ χειρόγραφον ἔχει πολλὰς περιέργους σημειώσεις εἰς τὸ περιθώριον, ἐξηγητικὰς τῶν δυσκόλων χωρίων, τοῦ κειμένου, τῆς θεοσοφίας τῶν Βραχμάνων κ.τ.λ., τὰς ὁποίας παραλείπομεν ἐνταῦθα χάριν συντομίας.

γ) *ΓΙΤΑ, μεταγλωττισθεῖσα ἀπὸ τοῦ Βραχμανικοῦ παρὰ Δημητρίου Γαλανοῦ τοῦ Ἀθηναίου.*

Τὸ χειρόγραφον τῆς μεταφράσεως τῆς Γιτᾶς σώζεται ὁλόκληρον καὶ πλῆρες περιέργων σημειώσεων.

ΔΡΥΤΡΑΣΤΡΑΣ.

1. Τί ἐποίησαν, ὦ Σανζαία, οἱ πολεμησείοντες υἱοί μου καὶ οἱ τῶν Πανδοῦ, συνελθόντες εἰς τὴν Κουρουξέτραν, τὴν γῆν τῆς ἀρετῆς;

ΣΑΝΖΑΪΑΣ.

2. Ὁ βασιλεὺς Δουριοδάνας, ἰδὼν παρατεταγμένον τὸν στρατὸν τῶν Πανδοϊδῶν, προσῆλθε τῷ διδασκάλῳ Δρόνᾳ καὶ ἔλεξε τάδε· «σκόπει διδάσκαλε, τὸν μέγαν »τοῦτον στρατὸν τῶν υἱῶν τοῦ Πανδοῦ, τὸν παρατεταγ»μένον ὑπὸ τοῦ εἰδήμονος μαθητοῦ σου Δρυσταδεούμνα, »υἱοῦ τοῦ Δρουπάδα. κ.τ.λ.

Εἰς τὸ τέλος ἐσημείωσεν ὁ ἀοίδιμος μεταφραστὴς τὰ ἑξῆς· «Ἐδιδάχθην ταύτην τὴν Γιτὰν παρὰ τοῦ Καν»δαρδάσα, τῇ 16 τοῦ Νοεμβρίου κατὰ τὸ ᾳωϐ' ἔτος, ἐν »Κασσῇ τῇ πόλει τῶν Βραχμάνων.»

δ) *ἸΤΙΧΑΣΑΣΑΜΟΥΤΣΑΪΑ, τουτέστιν ἀρχαιολογίας συλλογὴ, ἢ περὶ διαλόγων τε καὶ μύθων φιλοσοφικῶν, νομίμων τε καὶ ἐθίμων ἰνδικῶν, συλλεχθέντων κατ' ἐκλογὴν ἐκ τῆς Μαχαϐαράτας, βίϐλου παλαιᾶς, φιλοσοφικῆς τε καὶ ἱστορικῆς, συγγραφείσης ὑπὸ τοῦ φιλοσόφου Βεάσα.*

1. Νικᾷ πάντας ὁ Βεάσας, ὁ υἱὸς τοῦ Παρασσάρα καὶ τῆς Σατεϐατῆς, οὗ ἐκ τοῦ στόματος τὸν ῥέοντα ἀγαθὸν λόγον, ὡς μέλι γλυκὺν ἐκ τοῦ ἄνθους λωτοῦ, πίνει ὁ κόσμος.

2. Ἡ Βαράτα, ἡ ἀναφυεῖσα ἐκ τῆς τοῦ Βεάσα γλώττης, ὡς ὁ λωτὸς ἐκ τῆς λίμνης, καὶ ἔχουσα ὡς μεγάλην εὐωδίαν τὴν Γιτὰν, καὶ ὡς κόνιν τοῦ ἄνθους, τὰς πολυειδεῖς ἀφηγήσεις, καὶ διεκπεταννυμένη εἰς ἀνακάλυψιν καὶ ἑρμηνείαν τῶν τοῦ Θεοῦ κατορθωμάτων, καὶ ποθουμένη πίνεσθαι ὑπὸ τῶν ἀγαθῶν, ὡς λωτὸς ὑπὸ τῶν μελισσῶν καὶ ἐκπλύνουσα τὰς κηλῖδας τοῦ Καλῆ αἰῶνος, ἔστω ὑμῖν εἰς ἀγαθόν.

3. Ἡ Μαχαβαράτα, ἥ ἐστιν ὡς βακτηρία, πεποιημένη ὑπὸ τοῦ Βεάσα, βασταζέσθω ἐν ταῖς χερσὶν ὑμῶν τῶν ὑποσκαζόντων καὶ προσπταιόντων ἐν τῇ τρίβῳ τούτου τοῦ βίου.

4. Γίνωσκε τὸν Βεάσαν μέγαν Θεόν· τίς γὰρ ἄλλος ἠδύνατο ποιῆσαι τὴν Μαχαβαράταν, εἰμὴ ὁ Θεός;

5. Ἡ Μαχαβαράτα ἐγεννήθη εἰς ὠφέλειαν τοῦ κόσμου ὑπὸ τοῦ Βεάσα, συστρέψαντος τὸν νοῦν ἑαυτοῦ, καθὼς ἡ Σελήνη ἐκ τῆς συστραφείσης θαλάσσης ὑπὸ τοῦ Βισνοῦ.

6. Ὡς ἐπὶ τὸ πλεῖστον πάντες οἱ σοφοὶ καὶ ἅγιοι ἄνδρες ἐπόνησαν εἰς ὠφέλειαν μόνον ἑαυτῶν· ὁ δὲ θεῖος Βεάσας ἐπόνησεν εἰς ὠφέλειαν πάντων.

7. Ἀμέλει, τίς ἂν ἄλλος εἴη μᾶλλον ἀξιέπαινος, ἢ ὁ Βεάσας; οὗτος γὰρ καὶ τὴν Βέδαν ἐν τάξει ἔθετο καὶ τὴν θαυμαστὴν Μαχαβαράταν συνεγράψατο, ἀγαπῶν τὴν ὠφέλειαν πάντων.

8. Πάντα δὲ τὰ τῆς Βέδας ἐν τῇ Μαχαβαράτᾳ δεικνύονται καὶ ἑρμηνεύονται ὑπὸ τοῦ Βεάσα, λέγοντος οὕτως· « φευγέτω πᾶς τις τὰ κακὰ, καὶ ζητείτω τὰ ἀ-
» γαθά. , » κ.τ.λ.

. . . .

(Τέλος) Αὕτη ἡ Ἰτιχασασαμουτσάϊα ἐντελὴς ἐγένετο τριάκοντα καὶ δύο Κεφαλαίοις (διηγήσεσι ψυχωφελέσι)· στίχοι δὲ ἐμπεριέχονται ἐν αὐτῇ τρισχίλιοι καὶ τριακόσιοι, καὶ τρεῖς πρὸς τοῖς τριάκοντα, οἳ ἔῤῥευσαν ἐκ τοῦ μελιῤῥύτου στόματος τοῦ Βεάσα.

Ἐν Κασσῆ 1824.

Ε') *ΔΟΥΡΓΑ'.*

Τὸ πονημάτιον τοῦτο εἶναι τέλειον καὶ διαιρεῖται εἰς δεκατρία κεφάλαια. Συνδιαλέγονται δὲ ἐν αὐτῷ διάφορα πρόσωπα περὶ τῆς γενέσεως τοῦ ὀγδόου Μανοῦ, υἱοῦ τοῦ Ἡλίου.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΜΑΡΚΑΝΔΕΪΑΣ.

1. Ὁ ὄγδοος Μανοῦς, ὃς ἐπονομάζεται Σαβαρνὴς, υἱός ἐστι τοῦ Ἡλίου. Τούτου τὴν γέννησιν ἄκουσόν μου λέγοντος ἐκτεταμένως.

2. Καὶ ὅπως οὗτος ὁ τοῦ Ἡλίου υἱὸς Σαβαρνὴς πανευδαίμων βασιλεὺς ἐγένετο ἀπ' ἐκείνης τῆς δυναστείας, χάριτι τῆς Μαχαμαίας.

3. Πάλαι ἐπὶ τῆς δυναστείας τοῦ Μανοῦ, ὃς ἐπονομάζεται Σβαροχίσσας, βασιλεύς τις ἦν ἐν ἁπάσῃ τῇ σφαίρᾳ τῆς γῆς, Σουράτας τοὔνομα, ἐκ γένους ὢν τοῦ βασιλέως Σαίτρα.

4. Τούτῳ τῷ βασιλεῖ Σουράτᾳ, ὃς ἐκυβέρνα καλῶς τοὺς λαοὺς, ὡς γνησίους ἑαυτοῦ υἱοὺς, πολέμιοι οἱ βασιλεῖς ἐγένοντο, οἱ λεγόμενοι Κολαβιδβάνσαι κ.τ.λ.

. . . .

17. Δοῦσα ἡ Θεὰ αὐτοῖς τὸ ἐφετὸν ἀγαθὸν, ἀφαν-

τος εὐθέως ἐγένετο. ὑμνουμένη εὐλαβῶς ὑπ' αὐτῶν.

18. Οὕτως οὖν ὁ ἄριστος τῶν βασιλέων Σουράτας, λαβὼν χάριν τῆς θεᾶς, γέννησιν λήψεται παρὰ τοῦ Ἡλίου, καὶ ἔσεται Μανοῦς, Σαβαρνὴς τὸ ἐπώνυμον.

ΤΕΛΟΣ ΤΗΣ ΔΟΥΡΓΑΣ.

Ζ) *ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ, Βραχμᾶνος, Χιτοπαδάσσα, ἐπικαλουμένη ΠΑΝΤΣΑΤΑΝΤΡΑ, ἤτοι Πεντάτευχος, ποίημα πολιτικὸν, οἰκονομικὸν καὶ ἠθικόν.*

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΟΙΗΜΑΤΟΣ.

Καὶ ἔργῳ καὶ λόγῳ καὶ νοὶ καὶ σώματι προσκυνῶ καὶ ὑμνῶ τὴν Σαρασβατὴν ἐς ἀεί, ᾗ διαβατὸν ἐγένετο τὸ πέλαγος τῆς μαθήσεως, τὸ δυσδιάβατον καὶ αὐτοῖς τοῖς θεοῖς.

Προσκύνησις τῷ Μανοῦ, τῷ Βριχασπατῇ, τῷ Σούκρᾳ, τῷ Παρασσάρᾳ, τῷ Βεάσᾳ, τῷ σοφῷ Σαναχέᾳ, καὶ τοῖς λοιποῖς σοφοῖς καὶ ἐπιστήμοσι.

Προσκυνήσας δὲ καὶ τὸν ἀλεξίκακον Γανέσσαν, τὸν υἱὸν τῆς θεᾶς Παρβατῆς, ἐρῶ περὶ πολιτικῶν, οἰκονομικῶν καὶ ἠθικῶν, μεμιγμένων μυθολογίᾳ.

Ὁ Βισνουσσαρμὰν πᾶν βιβλίον ἐν κόσμῳ διελθὼν, πολιτικὰ, οἰκονομικὰ, ἢ ἠθικὰ διαλαμβάνον, συνέγραψε τοῦτο τὸ λίαν χάριεν καὶ ἀπαράμιλλον ποίημα, ὅπερ εἰς πέντε βιβλία διαιρεῖται.

Ὡς δὲ ἐγένετο οὕτως ἔχει·

Πόλις ἐστὶ κατὰ τὸ νότιον μέρος, Μαχιλαρουπὴ τοὔνομα, ἔνθα βασιλεύς τις ἦν, Ἀμαρασακτὴς καλούμενος, ἐς ἄκρον ἐληλυθὼς πάσης παιδείας τε καὶ ἐπιστήμης, βρίθων πολιτικῇ, οἰκονομικῇ καὶ ἠθικῇ φιλο-

σοφίᾳ, πανένδοξός τε καὶ πανέκλαμπρος τοῖς οἷς εἶχεν ὑποχειρίοις καὶ ὑποτελέσι βασιλεῦσι. Τούτῳ γίνονται υἱοὶ τρεῖς, ὧν τὰ ὀνόματα, Βαχουσσακτὴς, Οὐγρασσακτὴς, καὶ Ἀναντασσακτὴς, πάντες δύσνοες τυγχάνοντες. Ὁ τοίνυν βασιλεὺς, σκοπῶν αὐτοὺς ἀφυῶς ἔχοντας πρὸς μάθησιν, τοὺς συμβούλους συγκαλέσας τοὺς ἑαυτοῦ, ἔλεξε τάδε·

« Γνωστόν ἐστιν ὑμῖν, ὡς οὗτοι οἱ ἐμοὶ υἱοὶ, οὔτ' εὐ» φυῶς ἔχουσι μαθήσεως, καὶ ἄμοιροί εἰσι διακρίσεως. » Διὰ ταῦτ' ἄρα ἡ βασιλεία, καί περ εὐδιοίκητος καὶ ἀτά» ραχος, ἥκιστα ἡδονήν μοι δίδωσιν. Ὀρθῶς ἄρα λέγεται·

« Βέλτιον τὸ ἀποθανεῖν, ἢ τὸ μὴ γεννηθῆναι ὅλως » υἱὸν, τοῦ γεννηθῆναί τε καὶ εἶναι ἐν ζῶσι μωρόν· ὁ » γὰρ ἀποθανὼν, ἢ μὴ γεννηθεὶς ὅλως υἱὸς, ὀλίγην » προξενεῖ τὴν ἀνίαν· ὁ δὲ ζῶν μωρὸς υἱὸς, ἐφ' ὅρους » ζωῆς κατακαίει τὴν πατρικὴν καρδίαν.

« Τί ὄφελος ἐξ ἐκείνης τῆς βοὸς, ἣ οὔτε κυοφορεῖ, » οὔτε γαλακτοφορεῖ; Τί ὄφελος ἐξ ἐκείνου τοῦ γεννη» θέντος υἱοῦ, ὃς οὔτε φρονήσεως, οὔτ' ἀρετῆς εὐμοιρεῖ;

« Κάλλιον ἔκτρωσις, κάλλιον συνουσίας ἀποχὴ, κάλ» λιον γέννησις θυγατρὸς, ἢ βρέφους θνητοῦ, κάλλιον » στεῖρα γυνὴ, κάλλιον δὲ καὶ σύλληψις, ἐὰν μένῃ ἀεὶ » ἐν γαστρὶ, ἢ ἄφρων υἱὸς, καί περ πάγκαλος καὶ πάμ» πλουτος.

« Ἀνθ' ὧν πάσῃ μηχανῇ καὶ παντὶ τρόπῳ, ὡς οἷόν » τε, χρηστέον εἰς γρηγόρησιν τοῦ ὑπνοῦντος νοὸς τού» των τῶν υἱῶν μου. »

Τῶν μὲν οὖν βουλευτῶν τινες ἔφασαν· « Ὦ βασιλεῦ, » μέχρι δώδεκα ἐτῶν ἀκουστέα ἐστὶ καὶ διδακτέα τὰ τῆς

» Γραμματικῆς· μετὰ δὲ τὴν ταύτης ὁπωσδηποτοῦν γνῶ-
» σιν, γνωστὰ τὰ τοῦ νόμου γίνεται, κἀντεῦθεν θῆξις
» καὶ ὀξύτης τοῦ νοὸς ἐπισυμβαίνει. » Εἷς δέ τις αὐτῶν,
ᾧ ὄνομα Σουματὴς, εἴρηκεν· « Ἡ μὲν ζωὴ αὕτη ἐφή-
» μερος, ὦ ἄναξ· τὰ δὲ περὶ τὴν γραμματικὴν διὰ πολ-
» λοῦ τοῦ χρόνου εἰς γνῶσιν ἥκει· ὅθεν ὁδόν τινα ἐπίτο-
» μον ἐπινοητέον εἰς γρήγόρησιν τοῦ νοὸς τῶν παίδων.
» Οὑτωσί πως δὲ καὶ τῶν ποιητῶν τις ἀποφθέγγεται·

« Ἡ μὲν γραμματικὴ τέχνη μακρὰ, ἡ δὲ ζωὴ βρα-
» χεῖα, καὶ πολλὰ τὰ ἐμποδών· ὅ,τι τοίνυν εὔχρηστον,
» τοῦτο ἐρανιστέον, ὡς τὸ γάλα ὑπὸ τοῦ χηνὸς ἐκ μέ-
» σου τοῦ ὕδατος.

« Ἐνταῦθά ἐστιν, ἔφη, εἷς Βραχμὰν, οὗ τὸ ὄνομα Βι-
» σνουσσαρμὰν, κλέος ἔχων πολὺ ἐν πολλοῖς ἐπιστήμοσι.
» Τούτῳ τοὺς παῖδας ἐγχείρισον· ὁ δὲ ἐν βραχεῖ νοήμο-
» νας ἀποτελέσει. » Τούτου τῶν λόγων ἀκούσας ὁ βασι-
λεὺς, καλέσας ἐκεῖνον τὸν Βισνουσσαρμᾶνα, « Λάβε
» τοὺς παῖδας τούτους, ἔφη, θεσπέσιε, καὶ τοιούτους αὐ-
» τοὺς ποίησον κατὰ τὴν πολιτικὴν, οἰκονομικὴν καὶ ἠθι-
» κὴν φιλοσοφίαν, οἷοι οὐδέποτ' ἄλλοι γεγόνασιν. Ἐγὼ
» δέ σοι ἑκατὸν δωρήσομαι κώμας.» Ὁ δὲ, « εἰσακουσθήτω
» μου τὸ ῥῆμα τόδε, βασιλεῦ. Ἐγὼ τὴν μάθησιν οὐ δια-
» πιπράσκω ἑκατὸν κωμῶν, ἀλλ' οὐδέ γε φιλοχρήματός
» εἰμι· παιδείαν δὲ παιδεύσω τοὺς παῖδας εἰς ἐκπλήρω-
» σιν τοῦ σοῦ αἰτήματος. Ἐὰν μέν τοι γε τούτους μετὰ
» παρέλευσιν μηνῶν ἓξ, εἰδήμονας τῶν πολιτικῶν, οἰκο-
» νομικῶν καὶ ἠθικῶν μὴ ἀποδείξω, οὐδέποτε κληθήσομαι
» Βισνουσσαρμάν. » Ὁ μὲν δὴ βασιλεὺς, παραδοὺς αὐτῷ
τοὺς παῖδας μετὰ χαρᾶς καὶ τιμῆς, λίαν ἀμέριμνος

ἐγένετο. Ὁ δὲ, παραλαβὼν αὐτοὺς, οἴκαδε ᾤχετο· ὧν χάριν πέντε συνέγραψε βιβλία· τὸ μὲν περὶ διαλύσεως φιλίας, τὸ δὲ, περὶ κτήσεως φιλίας, τὸ δὲ περὶ στρατηγήματος καὶ μάχης, τὸ δὲ περὶ στερήσεως τοῦ κτηθέντος, τὸ δὲ πέμπτον, περὶ ἀπερισκέπτου ἔργου. Ταῦτα δὲ παιδευόμενοι, ὡς ἐν παιδιᾷ, οἱ παῖδες οὗτοι, τοιοῦτοι ἐν ἑξαμήνῳ διαστήματι ἐγένοντο, οἵους εἴρηκεν ὁ Βισνουσσαρμὰν καὶ ἤθελεν ὁ βασιλεύς. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου τὸ πολιτικὸν, οἰκονομικὸν καὶ ἠθικὸν τοῦτο ποίημα, ὃ ἐπικέκληται Παντσατάντρα, τουτέστι, Πεντάτευχος, εἰς ἀνάγνωσιν καὶ γνῶσιν τῶν παίδων ἐθίζεται. Ἀλλὰ τί δεῖ μακρηγορεῖν; Ὅστις τὸ πολιτικὸν, οἰκονομικὸν καὶ ἠθικὸν τουτὶ ποίημα συνεχῶς καὶ προσεχῶς ἀναγινώσκει, ἢ ἀκούει, οὗτος οὐδέποτ' ἂν νικηθείη οὐδ ὑπ' αὐτοῦ τοῦ Ἴνδρα.

Τοῦ μὲν ὅλου ποιήματος ἡ ὑπόθεσις αὕτη ἐστὶν ἐν κεφαλαίῳ· τοῦ δὲ πρώτου βιβλίου ἡ ἑξῆς· κ.τ.λ.

Τούτου τοῦ κομψοῦ ποιήματος μετέφρασεν ὁ ἀοίδιμος Δ. Γαλανὸς, τὸ περὶ διαλύσεως φιλίας, κεφ. Α' καὶ Β', ἀντιγράψας καθαρῶς ἐκ τῶν πρωτογράφων του τὰ τρία τέταρτα σχεδὸν τοῦ Α' κεφαλ. καὶ ἀφήσας εἰς ἑκάστην σχεδὸν σελίδα ἄγραφον χάρτην κάτωθεν, διὰ σημειώσεις, τὰς ὁποίας δὲν ἐπρόφθασε φαίνεται νὰ προσθέσῃ. Τὸ Β' κεφάλαιον καὶ ἓν μέρος τοῦ τρίτου, τὸ ὁποῖον ἐπιγράφει Περὶ πολέμου, σώζονται εἰς πρωτόγραφα τετράδια δυσανάγνωστα. Ἐκ τοῦ τρίτου κεφαλαίου, τὸ ὁποῖον ἀνωτέρω ἐπιγράφεται Περὶ στρατηγήματος καὶ μάχης, διεσώθησαν μόνον ἕνδεκα φύλλα.

ΡΑΓΓΟΥ ΒΑΝΣΑ, τουτέστι γενεαλογία τοῦ Ῥαγγοῦ, ἐξ οὗ κατάγεται ὁ περίφημος Ῥάμας.

ΠΡΟΟΙΜΙΟΝ.

1. Εἰς ἐπίτευξιν ὀρθοῦ λόγου καὶ ὀρθῆς ἐννοίας, ὑμνῶ καὶ προσκυνῶ τὴν θεὰν Παρβατὴν καὶ τὸν θεὸν Σίβαν, οἵ εἰσι γεννήτορες τοῦ κόσμου, καὶ ἀχώριστοι, καθὼς ὁ λόγος καὶ ἡ ἔννοια.

2. Ποῦ ἡ ἐξ Ἡλίου μεγάλη γενεαλογία; καὶ ποῦ ἡ ἐμὴ μικρὰ καὶ ὀλίγη γνῶσις, ὃς βούλομαι (ἐφίεμαι) διαβῆναι ἐκ μωρίας τὸν δυσδιάβατον ὠκεανὸν ἐπὶ σχεδίας;

3. Ἐγὼ ὁ ὢν μὲν ἀμβλὺς τὸν νοῦν, ζητῶν δὲ κλέος ποιητοῦ, κατάγελων ἔξω, καθὼς ὁ νάνος καὶ γαλεάγκων, ὃς ἀνατείνει ἐξ ἀγνοίας τὴν χεῖρα αὐτοῦ εἰς ὀπώραν, ἣν καταλαβεῖν δύναται ὁ πελώριος.

4. Ἀλλ' ἔστι μοι δύναμις ἐφικέσθαι εἰς ἐξιστόρησιν τῆς ἡλιακῆς γενεαλογίας, ἐξιστορηθείσης πρώην ὑπ' ἄλλων σοφῶν ἀνδρῶν, καθὼς καὶ τῷ νήματι δύναμίς ἐστι διελθεῖν διὰ μαργάρου ἢ λίθου, τετρυπημένων ὑπ' ἄλλου ὀξέως ὀργάνου.

5. Ἐγὼ μὲν οὖν, εἰ καὶ οὐ δεινός εἰμι ἐν λόγοις, συγγράψω περὶ τῶν ἀπογόνων Ῥαγγοῦ, ἐκκεντούμενός τε καὶ ὑποκνιζόμενος ὑπὸ τῶν προτερημάτων αὐτῶν, τῶν ἐλθόντων εἰς τὰ ὦτά μου.

6. Συγγράψω περὶ αὐτῶν, τῶν ὄντων λαμπρῶν ἐκ γενέσεως, τῶν μὴ ἀπεχομένων τοῦ ἔργου πρὶν ἰδεῖν τὸ τέλος, τῶν κυριευόντων τῆς γῆς μέχρι τῶν ὁρίων τοῦ ὠκεανοῦ, τῶν ἁρματηλατούντων μέχρις εἰς τὸν οὐρανόν,

7. Τῶν θυόντων κατὰ τὸν νόμον, τῶν δωρουμένων

κατὰ τὴν ἔφεσιν τῶν αἰτούντων, τῶν κολαζόντων κατὰ τὰ ἁμαρτήματα, τῶν ἐξεγειρομένων τοῦ ὕπνου κατὰ τὸν καιρόν,

8. Τῶν συλλεγόντων χρήματα εἰς διάδοσιν τοῖς δεομένοις, τῶν μέτρια λεγόντων χάριν τῆς ἀληθείας, τῶν ἐφιεμένων νίκης χάριν εὐκλείας, τῶν γαμούντων χάριν τεκνογονίας.

9. Καὶ ἐν μὲν τῇ παιδικῇ ἡλικίᾳ πονούντων εἰς κτῆσιν παιδείας, ἐν δὲ τῇ νεότητι τρυφώντων, ἐν δὲ τῷ γήρατι ἡσύχως καὶ ὁσίως ζώντων, ἐν δὲ τῷ τέλει τῆς ζωῆς τὸ σῶμα ἀπολειπόντων διὰ θεωρίας καὶ ἀναβιβάσεως τῆς πνοῆς εἰς τὸ Βράχμα.

10. Τοῦτο τὸ σύγγραμμα θεωρῆσαι ἄξιοί εἰσιν οἱ σοφοὶ ἄνδρες, οἳ διαγινώσκουσι τὸ ὀρθὸν καὶ τὸ μὴ ὀρθόν· καὶ γὰρ τὸ ὄβρυζον ἢ τὸ κίβδηλον τοῦ χρυσοῦ διαγινώσκεται ἐν τῷ πυρί.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Ὁ ἡλιογενὴς Μανοῦς, ὁ ὑμνούμενος ὑπὸ σοφῶν, ἦν πρῶτος τῶν βασιλέων, καθὼς τὸ Ὂμ πρῶτόν ἐστι καὶ κεφαλὴ τῆς Βέδας.

2. Ἐκ δὲ τῆς λαμπρᾶς γενεᾶς αὐτοῦ τοῦ Μανοῦ ἐγένετο ὁ λαμπρότερος βασιλεὺς Διλήπας, καθὼς ἡ Σελήνη ἐκ τῆς γαλακτικῆς θαλάσσης.

3. Σῶμα δ' εἶχεν οἰκεῖον τοῖς οἰκείοις κατορθώμασιν· εἶχε στέρνος εὐρὺ (εὐρύστερνος) καὶ στιβαροὺς ὤμους, καὶ ὑπερμεγέθης ἦν, καὶ μακρόχειρ· ἦν αὐτόχρημα Ξατρής.

4. Διὰ δὲ τοῦ ἑαυτοῦ σώματος, τοῦ ὑπερτέρου τῇ δυνάμει καὶ κρείττονος τῇ ἀγλαίᾳ καὶ τῷ μεγέθει τῶν

ἄλλων πάντων, εἶχεν ὑφ' ἑαυτὸν πᾶσαν τὴν γῆν, καθὼς ἡ Μερόη, τὸ μέγα καὶ ὑψηλὸν ὄρος.

5. Εἶχε κατὰ μὲν τὴν μορφὴν φρόνησιν, κατὰ δὲ τὴν φρόνησιν παιδείαν, κατὰ δὲ τὴν παιδείαν ἐπιχειρήματα· κατὰ δὲ τὰ ἐπιχειρήματα εἶχε καὶ τὰ ἀποτελέσματα.

6. Ἦν τοῖς ὑπὸ χεῖρα καὶ ἀπρόσιτος καὶ εὐπρόσιτος ἐκ τῶν φοβερῶν καὶ ἱλαρῶν αὐτοῦ βασιλικῶν ἠθῶν, καθὼς ὁ ὠκεανὸς ἐκ τῶν κητῶν καὶ μαργαριτῶν.

6. Καθὼς ὁ τροχὸς τῆς ἁμάξης οὐκ ἐκτρέπεται τῆς τετριμμένης ὁδοῦ, οὕτω καὶ ὁ λαὸς αὐτοῦ τοῦ δικαίου βασιλέως οὐκ ἐξετρέπετο τῆς ὀρθῆς καὶ εὐθείας οὐδὲ μικρόν τι.

8. Ἐλάμβανε δὲ φόρον παρὰ τῶν ὑπηκόων εἰς πλεῖον κέρδος καὶ ὄφελος αὐτῶν, καθὼς ὁ ἥλιος ἀνιμᾷ ὕδωρ εἰς τὸ δοῦναι βροχὴν χιλιοπλάσιον.

9. Τὸ στράτευμα αὐτοῦ ἦν οὐκ εἰς πόλεμον, ἀλλ' εἰς κόσμον· δύο δὲ μόνα ἦν τὰ ἀποτελεστικὰ τῆς νίκης, ὁ ὀξὺς αὐτοῦ νοῦς εἰς μηχανάς, καὶ ἡ ἐντεταμένη χορδὲ τοῦ τόξου.

10. Τὰ ἐπιχειρήματα αὐτοῦ, τοῦ ἔχοντος βουλὰς μυστικάς, καὶ μηδὲν σημεῖον προεκφαίνοντος (δεικνύοντος), ἐφαίνοντο ἐν τῇ ἐκτελέσει, καθὼς τὰ ἐν τῇ προτέρᾳ γεννήσει πεπραγμένα φαίνονται ἐν τῇ ἀπολαύσει.

11. Καὶ μὴ ὢν ἐν κινδύνῳ, ἐφύλαττε ἑαυτόν· καὶ μὴ ὢν ἐν δεινοῖς, ἐποίει τὰ τοῦ νόμου· καὶ μὴ ὢν πλεονέκτης, συνέλεγε χρήματα· καὶ μὴ ὢν ἡδυπαθής, ἡδυπάθει.

12. Καὶ γινώσκων τὰ ἀλλότρια κακά, ἐσιώπα· καὶ δυνάμενος ἀμύνεσθαι, ἠνείχετο· καὶ δωρούμενος, οὐκ

ἤθελεν ἔπαινον. Ταῦτα τὰ ἐναντία ὄντα (1), φιλικῶς εἶχον πρὸς ἄλληλα, καθὼς οἱ ὁμομήτριοι ἀδελφοί.

13. Καὶ νέος ὤν, ὥσπερ γέρων ἦν, ἐς ἄκρον ἐληλυθὼς πάσης παιδείας, μὴ ἑλκόμενος ὑπὸ τῶν ἡδονῶν, καὶ προσκείμενος τοῖς τοῦ νόμου. κ.τ.λ. κ.τ.λ.......

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

55. Οἱ δὲ βουλευταὶ μετὰ τῶν ἐγκρίτων τοῦ λαοῦ, ἀκριβῶς σκεψάμενοι, ὡς ἡ νόμιμος γυνὴ τοῦ βασιλέως ἐγκυμονοῦσά ἐστιν, ἐψηφίσαντο αὐτὴν εὐθέως βασίλισσαν.

56. Ὁ δ' ἐν γαστρὶ αὐτῆς γόνος, πρῶτον μὲν ἐθερμάνθη ἐκ τῶν καταχεομένων θερμῶν δακρύων ἐπὶ λύπῃ τοῦ θανάτου τοιούτου ἀνδρός· εἶτα δ' ἀνεψύχθη ἐκ τῶν καταχεομένων ψυχρῶν ὑδάτων ἐκ χρυσῶν στάμνων, τῶν νομιζομένων βασιλικῇ χειροτονίᾳ.

57. Φέρουσα δ' ἡ βασίλισσα ἐν γαστρὶ τὸν γόνον, εἰς ὠφέλειαν τῶν ἀνθρώπων, τῶν ἐφιεμένων τῆς γεννήσεως, διώκει τὴν τοῦ ἀνδρὸς βασιλείαν μετὰ γερόντων βουλευτῶν νομίμως καὶ ἀταράχως, καθημένη ἐπὶ θρόνου χρυσοῦ.

ΤΕΛΟΣ.

Τὸ χειρόγραφον τῆς γενεαλογίας τοῦ Ῥαγγοῦ διεσώθη ἀκέραιον· σύγκειται δὲ ἐκ Κεφαλαίων ΙΘ', (ὑποδιαιρουμένου ἑκάστου αὐτῶν εἰς 53 ἢ 57 δίστιχα ἢ παραγράφους) καὶ εἶναι πλῆρες περιέργων σημειώσεων.

---

(1) Τὸ γινώσκειν καὶ τὸ σιωπᾶν, τὸ δύνασθαι καὶ τὸ ἀνέχεσθαι, τὸ δωρεῖσθαι καὶ τὸ μὴ θέλειν ἔπαινον.

Η) *ΨΙΤΤΑΚΟΥ Μυθολογίαι νυκτεριναί.*

Φαίνεται ὅτι ὁ ἀοίδιμος Γαλανὸς δὲν ἐπρόφθασε νὰ τελειώσῃ τὴν μετάφρασιν τοῦ ἀστείου τούτου πονηματίου· διότι ἐν τῷ μεταξὺ λείπει ἡ τριακοστὴ τρίτη νὺξ, διὰ τὴν ὁποίαν ἄφησε τὸν ἀναγκαῖον ἄγραφον χάρτην. Μετ' αὐτὴν ἐξακολουθεῖ πάλιν μέχρι τῆς ἑξηκοστῆς· γράψας δὲ μόνην τὴν ἐπιγραφήν· «Νὺξ ἑξηκοστὴ πρώτη,» δὲν ἐξηκολούθησε τὴν συνέχειαν.

ΠΡΟΟΙΜΙΟΝ.

«Προσκυνήσας τὴν θεὰν Σαρασβατὴν, τὴν ἔφορον »πάσης ἐπιστήμης καὶ μαθήσεως, συγγράψω Ψιττακοῦ »μυθολογίας εἰς ἡδεῖαν διατριβὴν τῶν νοημόνων ἀν»θρώπων.»

Ἔστι πόλις Σανδραχαλὰ τοὔνομα, ἧς ὁ βασιλεὺς Βικραμασάνας ὠνομάζετο. Ἦν δ' ἐκεῖ καὶ ἔμπορος, Χαριδάτας καλούμενος, οὗ ὁ υἱὸς, ᾧ ὄνομα Μανδάνας, γυναῖκα ἔγημε, ᾗ ὄνομα Πραββαβατή. Ἦν δ' αὐτὸς ὁ Μανδάνας ἀμελῶν τοῦ ἐμπορικοῦ ἔργου, ἀνήκοος τῶν λόγων τοῦ πατρὸς καὶ τῆς μητρὸς, ἡδυπαθής τε καὶ φιλήδονος· πρὸς ὃν, Βραχμάν τις, φίλος πατρικὸς, Τριβικράμας ὀνόματι, ἤνεγκεν ἕνα Σούκαν καὶ μίαν Σαρικὰν, εἰς νουθεσίαν. Καί ποτε ὁ Σούκας, ὢν ἐν τῇ Κύρτῃ, ἐξεφώνησε πρὸς τὸν Μανδάναν ταῦτα· «Ἐκ τῶν »ὀφθαλμῶν τῶν σῶν γονέων, λυπουμένων, δάκρυα πολ»λὰ κατὰ γῆς χέονται· ἐκ δὲ τούτου ἔγκλημά σοι γί»νεται, καθὼς τῷ Δεβασσαρμᾶνι.» Ἐρωτήσαντος δὲ τοῦ Μανδάνα οἷός τις εἴη αὐτὸς ὁ Δεβασσαρμὰν, ὁ Σούκας ἀπεκρίνατο· κ.τ.λ.

ΤΑ ΕΚΔΟΘΕΝΤΑ (*).

Βατριχαρῆ βασιλέως, ἠθολογίαι, γνωμολογίαι καὶ ἀλληγορίαι.

Τοῦ αὐτοῦ, ὑποθῆκαι ἢ περὶ ματαιότητος τῶν τοῦ κόσμου.

Πολιτικά, οἰκονομικὰ καὶ ἠθικὰ ἐκ διαφόρων ποιητῶν.

Σανακέα, Σύνοψις γνωμικῶν καὶ ἠθικῶν.

Ζαγαννάθα Πανδιταράζα, ἀλληγορικά, παραδειγματικὰ καὶ ὁμοιωματικά.

ΒΡΑΧΜΑΝΙΚΑ ΧΕΙΡΟΓΡΑΦΑ.

Βραχμανικὸν σύγγραμμα ἀνεπίγραφον.

Βραχμανικὸν λεξικὸν ἢ ὀνομαστικὸν 112 τετράδια.

Περσικόν, Βραχμανικόν, Ἑλληνικὸν καὶ Ἀγγλικὸν λεξικὸν τετράδια 84.

Βραχμανικὸν ὀνομαστικὸν 45 τετράδια.

Βραχμανικὸν Ἀγγλικὸν καὶ Ἑλληνικὸν λεξικὸν 105 τετράδια, ἀλλ' ἐν τῷ μεταξὺ λείπει τὸ 86.

(*) Τὰ πέντε ταῦτα πονημάτια, ἅτινα ἀποτελοῦσι τὸν Πρόδρομον, ἢ πρῶτον τόμον τῶν ἐκ τοῦ Ἰνδικοῦ μεταφράσεων τοῦ ἀοιδίμου Γαλανοῦ, ἐξεδόθησαν διὰ δαπάνης τοῦ ἐν Ὀδησσῷ φιλογενοῦς Κυρίου Ἰωάννου Δούμα, Ἠπειρώτου, ὅςτις δι' ἰδίων του ἐξόδων ἐκδίδει πρὸς τούτοις καὶ τὴν παρὰ τοῦ ἀοιδίμου Βαρδαλάχου μετάφρασιν τῆς Κύρου Ἀναβάσεως, καὶ Κύρου Παιδείας τοῦ Ξενοφῶντος, ἐπιμελείᾳ τοῦ ἐνταῦθα ἀξιοτίμου Κυρίου Κωνσταντίνου Βαρβάτη.

Ὅσα δὲ χρήματα εἰσπραχθῶσιν ἐκ τῆς πωλήσεως τοῦ παρόντος συγγράμματος, θέλουσι χρησιμεύσει εἰς τὴν ἀλληλοδιαδόχως μελετωμένην ἔκδοσιν τῶν ἄλλων χειρογράφων, πρὸς ὠφέλειαν τῆς Βιβλιοθήκης. Ὅθεν εὐχαριστοῦντες ἐγκαρδίως τὸν φιλόμουσον Κύριον Ἰωάννην Δούμαν, ἐπικαλούμεθα καὶ τῶν λοιπῶν ὁμογενῶν τὴν συνδρομήν, ἵνα μὴ μείνωσιν ἀνέκδοτα συγγράμματα, δι' ὧν ἀνακαλύπτεται νέος, οὕτως εἰπεῖν, φιλολογικὸς δι' ἡμᾶς κόσμος.

(Σημ. τῶν Ἐκδ.)

Bhartri hari

ΒΑΤΡΙΧΑΡΗ ΒΑΣΙΛΕΩΣ

ΗΘΟΛΟΓΙΑΙ ΓΝΩΜΟΛΟΓΙΑΙ

ΚΑΙ

ΑΛΛΗΓΟΡΙΑΙ.

ΒΑΤΡΙΧΑΡΗ ΒΑΣΙΛΕΩΣ

ΗΘΟΛΟΓΙΑΙ, ΓΝΩΜΟΛΟΓΙΑΙ

ΚΑΙ

ΑΛΛΗΓΟΡΙΑΙ.

1. Προσκύνησις ἐκείνῳ τῷ Φωτὶ, ὅ ἐστιν ἱλαρὸν, νοερὸν, αὐτοκατάληπτον, ἀπεριόριστον κατὰ τὸν τόπον καὶ κατὰ τὸν χρόνον, καὶ ἀτελεύτητον (1).

2. Ἧς τινος ἐγὼ ἐκ ψυχῆς ἐρῶ, αὕτη οὐκ ἐμοῦ ἐρᾷ, ἀλλ' ἄλλου τινός· ὁ δὲ ἄλλης τινος ἐρᾷ· ἡ δὲ ἐμοῦ αὐτοῦ ἐρᾷ· ἐπάρατος καὶ ἐγὼ, καὶ αὕτη, κἀκείνη, κἀκεῖνος, καὶ αὐτὸς ὁ Ἔρως! (2).

---

(1) Ὁ πρῶτος στίχος ὕμνος ἐστὶν εἰς τὸ Θεῖον, ὅ ἐστι Φῶς οὐ καυστικὸν, ἀλλ' ἱλαρὸν, οὐδὲ σωματοειδὲς καὶ ὑλικὸν, ἀλλ' ἄϋλον καὶ νοερὸν, οὐδ' ἄλλῳ τινὶ καταληπτὸν, ἀλλ' αὐτοκατάληπτον· οὐδὲ μὴν ὁρίζεται τόπῳ ἢ χρόνῳ, πανταχοῦ δηλονότι πάρεστι, καὶ ἦν, καὶ ἔστι, καὶ ἔσται ἀϊδίως.

(2) Ὁ δὲ δεύτερος στίχος τοῦτο αἰνίττεται· Βραχμάν τις, ἐλθὼν πρὸς τοῦτον τὸν βασιλέα, ἔδωκεν αὐτῷ ἓν μῆλον, πρὸς ὃν καὶ εἶπεν· « Ὁ φαγὼν » τοῦτο, ἀεὶ νέος ἔσεται. » Ὁ μὲν οὖν βασιλεὺς, ἐρῶν σφόδρα τῆς βασιλίσσης, καὶ ἀγαπῶν βλέπειν αὐτὴν ἀεὶ νέαν, ἔδωκεν αὐτῇ τὸ μῆλον εἰπών· « Φάγε τοῦτο, ἵνα βλέπω σε ἀεὶ νέαν. » Ἡ δὲ βασίλισσα, ἐρῶσα τοῦ ἱπποκόμου, ἔδωκεν αὐτῷ τὸ μῆλον, εἰποῦσα· « Φάγε τοῦτο, ἵνα βλέπω σε ἀεὶ » νέον. » Ὁ δὲ ἱπποκόμος ἐρῶν τῆς βασιλικῆς ἑταίρας, ἔδωκεν αὐτῇ τὸ μῆλον, εἰπών· « Λάβε τοῦτο, καὶ φάγε, ἵνα βλέπω σε ἀεὶ νέαν. » Ἡ δὲ

3. Εὐχερῶς μὲν πείθεται ὁ ἁπλοῦς καὶ ἀμαθής· εὐχερέστερον δὲ ὁ εὐμαθὴς καὶ πολυμαθής· τὸν δ' ὀλιγομαθῆ καὶ δοκησίσοφον, οὐδ' αὐτὸς ὁ πάνσοφος Βραχμᾶς (1) καταπεῖσαι δύναται.

4. Δυνατὸν μέν ἐστι τῷ ἀνθρώπῳ βίᾳ ἐκβαλεῖν ἐκ τοῦ καρχαρόδοντος στόματος τοῦ κροκοδείλου λίθον πολύτιμον, καὶ τὸν ἀπέραντον καὶ πολυκύμονα ὠκεανὸν διαπερᾶσαι, καὶ τὸν ὀξύθυμον ὄφιν θεῖναι, ὡς ἄνθος ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς· ἀδύνατον δὲ πάντῃ ἐκβαλεῖν τὴν ἐπίνοιαν, τὴν ἐμβληθεῖσαν τῷ νοὶ βαρβάρου ἀνθρώπου.

5. Καὶ ἐξ ἄμμου ἔλαιον ἐξαγαγεῖν δύναται ὁ ἄνθρωπος, πιέζων καὶ τρόπους ποιῶν· καὶ ὁ δίψῃ θλιβόμενος, ὕδωρ πιεῖν δύναται τυχὼν, ἐν ἀνύδρῳ ἐρήμῳ· καὶ κέ-

---

ἑταίρα, ἐρῶσα τοῦ βασιλέως, ἔδωκεν αὐτῷ τὸ μῆλον, καὶ, « Ὦ βασιλεῦ, » εἶπε, φάγε τοῦτο τὸ μῆλον, ἵνα νέος καὶ ἀκμαῖος ᾖς ἀεί.» Ἀπορήσας δ' ὁ βασιλεὺς, ἠρώτησε· «Πόθεν τοῦτο ἔλαβες;» Ἡ δὲ, «Παρὰ τοῦ ἱπποκό» μου», ἀπεκρίνατο. Καλέσας δ' ὁ βασιλεὺς τὸν ἱπποκόμον, ἤρετο· «Τίς » σοι τοῦτο ἔδωκεν;» Ὁ δ' ἔφη· «Ἡ βασίλισσα.» Τηνικαῦτα ὁ Βασιλεὺς δεινοπαθῶν, εἶπε τὸν στίχον τοῦτον, καὶ ἀπογνοὺς τῶν τοῦ κόσμου, ἀνεχώρησεν εὐθέως εἰς ἔρημον.

Συμπεραίνεται ὡς οὗτος ἔζη περίπου 60 ἔτη πρὶν Χριστοῦ· ἦν δ' εἰς ἄκρον παιδείας μέτοχος καὶ ποιητὴς ἄριστος.

Παρὰ τοῖς βασιλεῦσι καὶ ἡγεμόσι τῆς Ἰνδίας ἑταῖραί εἰσιν ἔμμισθοι, αἳ ψάλλουσι καὶ χορεύουσιν ἔμπροσθεν αὐτῶν.

(1) Βραχμᾶς, ἓν τῶν τριῶν προσώπων τῆς παρ' Ἰνδοῖς θείας Τριάδος· καὶ ὁ μὲν Βραχμᾶς ἐστιν, ὁ πλαστουργὸς καὶ ποιητὴς τοῦ παντός· ὁ δὲ Βισνοῦς, ὁ κηδεμὼν καὶ τροφεύς· ὁ δὲ Σίβας, ὁ ἀπολλύων καὶ φθείρων· ὅ ἐστιν, ἡ Γέννησις, ἡ Αὔξησις, καὶ ἡ Μείωσις, δόγμα φιλοσοφικὸν καὶ ἀναντίρρητον.

ρας λαγωοῦ ἴσως ἂν εὕροι ὁ ἄνθρωπος, πλανώμενος τὴν γῆν· οὐδαμῶς δ' ὅμως δύναται ἐξαγαγεῖν τὴν ἐπίνοιαν, τὴν εἰςαχθεῖσαν εἰς τὸν νοῦν βαρβάρου ἀνθρώπου.

6. Τὸ μὲν πῦρ ἐπισχεῖν οἷόν τέ ἐστι δι' ὕδατος, τὸ δὲ καῦμα τοῦ ἡλίου διὰ σκιαδίου, τὸν δὲ μέγαν ἐλέφαντα δι' ὀξέος ἐλεφαντοκέντρου, τὸν δὲ ἀπειθῆ βοῦν καὶ ὄνον διὰ ῥάβδου, τὸ δὲ νόσημα δι' ἰατρικῶν βοτανῶν, τὸ δὲ φάρμακον διὰ διαφόρων ἐπῳδῶν· παντὸς πάθους θεραπεία ἐφευρέθη, καὶ ὡρίσθη, τοῦ δὲ βαρβάρου οὐδεμία θεραπεία.

7. Κάλλιόν ἐστι πλανᾶσθαι ἐν δυςβάτοις ὄρεσι σὺν ἀγρίοις θηρίοις, ἢ συνοικεῖν βαρβάρῳ καὶ ἐν αὐτῷ τῷ ἀγλαῷ οἴκῳ, τοῦ θεοῦ Ἴνδρα (1).

8. Ὅςτις βούλεται τοὺς κακοὺς καὶ φαύλους ἀγαγεῖν εἰς τὴν ὁδὸν τῶν ἀγαθῶν καὶ χρηστῶν ἀνδρῶν θείοις καὶ ἀμβροσιοσταλάκτοις λόγοις, οὗτος ἐπιχειρεῖ τὸν μὲν μανικὸν ἐλέφαντα δῆσαι σχοινίοις ἐξ ἁπαλῶν καυλῶν τῶν λωτῶν (2), τὸν δ' ἀδάμαντα τρυπῆσαι τῷ ἄκρῳ τοῦ λεπτοῦ ἄνθους Σιρίσσα, τὸν δ' ἁλμυρὸν ὠκεανὸν γλυκὺν ποιῆσαι μιᾷ σταγόνι μέλιτος.

---

(1) Ἴνδρας θεὸς μέγας καὶ βασιλεὺς τοῦ Οὐρανοῦ· αὐτὸς γάρ ἐστιν ὁ νεφεληγερέτης καὶ ὁ ἀστράπτων καὶ ὁ βροντῶν καὶ ὁ βρέχων· ἐπ' αὐτῷ ἐστι καὶ τὸ θεῖον βῆμα, ἐφ' ᾧ συνέρχονται οἱ θεοὶ εἰς βουλὴν, καὶ ἡ ἀμβροσία, καὶ ὁ θεῖος παράδεισος. Ὅπλον δ' αὐτοῦ τοῦ Ἴνδρα ἐστὶν ὁ κεραυνὸς, τόξον δὲ ἡ ἶρις, ὄχημα δὲ λευκὸς ἐλέφας, Ἀϊραβάτας καλούμενος· ὁ γὰρ ἐλέφας βασιλικὸν κρίνεται ὄχημα. Ὁ Ἴνδρας λέγεται καὶ χιλιόφθαλμος· ἡ δὲ χιλιοφθαλμία συμβολική ἐστι τῆς παντεφορίας.

(2) Λωτὸς, ἄνθος κρινοειδὲς, φυόμενον ἐν λίμναις· φύεται δὲ ἐν τοῖς ὕδασι τῆς Αἰγύπτου, κατὰ τὸν Ἡρόδοτον.

9. Ἡ σιωπὴ, ἡ ἐποιήθη ὑπὸ τοῦ Βραχμᾶ (1), σκέπη τῆς ἀμαθείας καὶ χρῆμα ὑπεξούσιον καὶ πάνυ ὠφέλιμον, κόσμημά ἐστι τῶν ἀμαθῶν καὶ ἀπαιδεύτων, μάλιστα δ' ἐν συλλόγῳ εὐμαθῶν καὶ εὐπαιδεύτων ἀνδρῶν.

10. Ὅτ' ἐγὼ, ὀλίγα εἰδὼς ἦν, ὡς μεμηνὼς ἐλέφας, τότε ἡ ἐμὴ καρδία ὑπέρφρων ἐγένετο, ὡς πάντα ἐγὼ οἶδα· ὅτε δ' ἐπαιδεύθην μικρόν τι παρὰ σοφοῖς ἀνδράσι, τότ' ἔγνων, ὡς ἀμαθής εἰμι, ἡ δ' ὑπερφροσύνη ἐκείνη, ὡς πυρετὸς, ἀπηλλάγη.

11. Ὁ ἀναίσχυντος καὶ φαυλόβιος οὐδαμῶς λογίζεται πράττων φαῦλα καὶ ἀναίσχυντα, καθὼς ὁ κύων, τρώγων ὑπερήδιστα ὀστέον ἀνθρώπειον, γυμνὸν κρέατος, καὶ πλῆρες σκωλήκων, καὶ κατάβροχον σιέλοις, καὶ μιαρὸν, οὐδαμῶς αἰδεῖται, κἂν βλέπῃ παρεστῶτα αὐτὸν τὸν ἀρχηγὸν τῶν θεῶν Ἴνδραν.

12. Ὁ ἐκπεσὼν τῆς ὀρθῆς κρίσεως καὶ τῶν οἰκείων ἐθῶν καὶ νομίμων, καταπίπτει πολυειδῶς, καὶ ἐσχάτως ἀπόλλυται, καθὼς ὁ Γάγγης (2), ἀφεὶς τὴν οἰκείαν στάσιν, τὸν πόδα τοῦ Βισνοῦ, καταπίπτει εἰς τὸν οὐρανὸν, ἐκ δὲ τοῦ οὐρανοῦ εἰς τὴν κορυφὴν τοῦ Σίβα (3), ἐκ δὲ

(1) Ὁ Βραχμᾶς ποιητής ἐστιν οὐ μόνον τῶν συγκεκραμένων, ἀλλὰ καὶ τῶν ἀφῃρημένων.

(2) Μυθολογοῦσιν ὅτι ὁ Γάγγης ἔχει τὴν πηγὴν ἐκ τοῦ ποδὸς τοῦ ὑπερθέου θεοῦ Βισνοῦ· ἐκεῖθεν δὲ καταῤῥέει εἰς τὸν οὐρανόν· ἐκ δὲ τοῦ οὐρανοῦ εἰς τὴν κορυφὴν τοῦ θεοῦ Σίβα· ἐκ δὲ τῆς τοῦ Σίβα κορυφῆς εἰς τὸν Ἰμαόν· ἐκ δὲ τοῦ Ἰμαοῦ εἰς τὴν γῆν τῆς Ἰνδίας· ἐκεῖθεν δὲ εἰσβάλλει εἰς τὸν ὠκεανόν. Ἐπειδὴ δὲ ἀναβρύει ἐκ τοῦ ποδὸς τοῦ θεοῦ Βισνοῦ, διὰ τοῦτο κρίνεται θεῖος καὶ ἅγιος, καὶ ὅτι ὁ ἐν τοῖς νάμασιν αὐτοῦ λουόμενος ἁγιάζεται.

(3) Σίβας, μέγας θεὸς, ἓν τῶν τριῶν προσώπων τῆς παρ' Ἰνδοῖς θείας

τῆς κορυφῆς τοῦ Σίβα εἰς τὸν Ἰμαὸν, ἐκ δὲ τοῦ ὑψηλοῦ ἐκείνου ὄρους εἰς τὴν γῆν· ἐκ δὲ τῆς γῆς καταπίπτει τελευταῖον εἰς τὸ ἀχανὲς πέλαγος, ὡς εἰς χάος βαθύτατον.

13. Τῷ ὄντι ζῶόν ἐστιν ἄλογον ἄνευ οὐρᾶς καὶ κεράτων, ὁ ἀνεπιστήμων, καὶ ἄμουσος, καὶ ἄτεχνος· εἰ δὲ καὶ ζῇ, μὴ ποηφαγῶν, τοῦτο ἀγαθῇ τύχῃ τοῖς ποηφάγοις ἐστι ζώοις.

14. Οἷς τισιν οὐκ ἔστιν οὔτε μάθησις, οὔτε ἐγκράτεια, οὔτε ἐλευθεριότης, οὔτε κρίσις νοὸς, οὔτε χρηστοήθεια, οὔτε καλοκἀγαθία, οὔτε δικαιοσύνη, οὔτε ἄλλη τις τοιαύτη ἀρετὴ, οὗτοι ἄχθος τῆς γῆς τυγχάνουσι, καὶ ὡς κτήνη ἐν σχήματι ἀνθρώπων διάγουσιν.

15. Εἰ ἐν Βασιλέως τινος χώρᾳ ἄνδρες σοφοὶ, καὶ ἐπιστήμονες, καὶ ἐλλόγιμοι, καὶ πολλῶν μαθητῶν διδάσκαλοι, ἀπόρως διάγουσι καὶ ἀτίμως, τοῦτο οὐκ ἔςιν ἀτιμία τῶν σοφῶν, ἀλλὰ τοῦ βασιλέως ἐκείνου ἄγνοια· οἱ γὰρ σοφοὶ, εἰ καὶ ἐνδεεῖς, τίμιοι ὅμως τυγχάνουσιν ὄντες· παραδείγματος χάριν, οὐ ψέγεται ἡ πολύτιμος λίθος ἡ ἐκπεσοῦσα τῆς πρεπούσης τιμῆς, ἀλλ' ὁ μὴ εἰδὼς τὴν ἀξίαν τιμήν.

16. Ὦ Βασιλεῖς, ἄφετε τὴν ἔπαρσιν καὶ ἔριν, ἣν ἔχετε πρὸς ἐκείνους, ὧν ἡ μάθησις πλοῦτός ἐστιν ἐνδόμυχος καὶ ἀναφαίρετος· οὔτε γὰρ ὑπὸ τὴν αἴσθησιν κλέπτου ἔρχεται τοιοῦτος πλοῦτος, οὔτε ἐν πανωλεθρίᾳ ὀλε-

---

Τριάδος, ὡς προείρηται, οὗ ἐνδιαίτημά ἐστιν ἐξαίρετον ὁ Ἰμαὸς, παράκοιτις δὲ, ἡ θυγάτηρ αὐτοῦ τοῦ Ἰμαοῦ, ᾗ ὄνομα Παρβατὴ, τουτέστιν, Ὀρειάς· τὸ γὰρ Ὄρος Ἰνδιστὶ Παρβάτη λέγεται.

θρον ἔχει· καὶ μεταδιδόμενος ἑκάστοτε τοῖς αἰτοῦσιν, αὔξησιν λαμβάνει, καὶ ἄνεσιν ἀμύθητον δίδωσι· τίς ἄρα ἔριν καὶ ἅμιλλαν ποιήσαιτ' ἂν πρὸς τοὺς τοιοῦτον πλοῦτον ἔχοντας;

17. Ὦ Βασιλεῖς καὶ πλούσιοι, μὴ ἀτιμάζετε τοὺς ἔχοντας μάθησιν, ἥ ἐςι πλοῦτος ἔξοχος· ὁ γὰρ πλοῦτος ὑμῶν, ὡς σκύβαλον φαίνεται παρ' αὐτοῖς, καὶ οὐ δύναται πεδῆσαι αὐτοὺς, καθὼς οὐδὲ ὁ καυλὸς τοῦ λωτοῦ πεδῆσαι δύναται τοὺς μανικὸν ἔχοντας χυμὸν ἐλέφαντας (1).

18. Ὁ ποιητὴς Βραχμᾶς, θυμωθεὶς δύναται στερῆσαι τὸν χῆνα τῆς ἡδείας διατριβῆς ἐν λειμῶνι λωτῶν· οὐ δύναται δ' ὅμως ἀφελέσθαι αὐτοῦ τὴν ἣν ἔχει ἔμφυτον ἐπιστήμην εἰς τὸ χωρίζειν, ὅταν ἐκμυζᾷ, τὸ γάλα (2) ἀπὸ τοῦ ὕδατος (3).

19. Οὐχ ἀγλαΐζουσι τὸν ἄνθρωπον τὰ βραχιόνια, οὔτε οἱ λαμπροὶ ὅρμοι, οὔτε τὸ λουτρὸν, οὔτε τὸ χρίσμα ἐκ μύρων, οὔτε τὰ ἄνθη, ἢ ἡ εὔθετος καὶ ἀγλαὰ κόμη, ἀλλὰ μόνη ἡ λογιότης καὶ κομψότης τῶν λόγων· τὰ μὲν γὰρ σωματικὰ κοσμήματα ἐφήμερά εἰσιν ἀγλαΐσματα· μόνη δὲ ἡ τῶν λόγων ἀγλαΐα, ἀγλάϊσμά ἐστι καὶ κόσμημα μόνιμον.

---

(1) Ὁ ἐλέφας οἰστρηλατούμενος, μαίνεται· ἐκ δὲ τῶν κροτάφων αὐτοῦ ἐκρέει χυμὸς ὑδατώδης· ὅταν οὕτω πάσχῃ ἐκ θηλυμανίας, διαῤῥηγνύει τὰ δεσμὰ, καὶ ἀναιρεῖ οὗ ἂν τύχῃ.

(2) Λέγουσιν ὅτι ἂν συγκριθῇ γάλα ὕδατι, τὸ γάλα μόνον ἐκροφᾷ ὁ χὴν, τὸ δὲ ὕδωρ ἀφίησιν, ὡς ἄχρηστον.

(3) Ἀλληγορικὸν τοῦτο, ὅμοιον δ' ἂν εἴη ὥσπερ εἰ ἔλεγεν· ὁ Βασιλεὺς δύναται ἐξελάσαι τὸν σοφὸν ἄνδρα ἐκ τῆς ἑαυτοῦ ἐπικρατείας, οὐ δύναται δ' ὅμως ἀφελέσθαι αὐτοῦ τὴν ἣν ἔχει σοφίαν.

20. Ἡ μάθησις μέγα κάλλος πέφυκε τῷ ἀνθρώπῳ· ἡ μάθησις πλοῦτός ἐστιν ἐνδόμυχος καὶ ἄσυλος· πρόξενός ἐστι τρυφῆς, φήμης, καὶ ἀνέσεως· ἡ μάθησίς ἐςι σεβασμιωτέρα τῶν σεβασμίων πάντων, καὶ συγγενὴς ἐν ἀποδημίᾳ (1)· ἡ μάθησίς ἐστι θεοειδὴς καὶ θεσπεσία, καὶ τιμία παρὰ βασιλεῦσιν· ὁ δ' ἀμαθὴς, ζῶόν ἐστιν ἄλογον.

21. Εἰ ἀνοχή ἐστι, τίς χρεία λόγων πιθανῶν καὶ ἀπολογητικῶν; εἰ θυμός ἐστι, τίς χρεία ἐχθρῶν; εἰ συγγενής ἐστι κληρονόμος, τίς χρεία πυρκαϊᾶς; εἰ φίλος ἐστὶν ἐγκάρδιος, τίς ἀνάγκη ῥωστικῶν ποτῶν (2); εἰ κακότροποι ἄνθρωποι συνδιάγουσι, τίς ἀνάγκη ὄφεων; εἰ μάθησίς ἐστιν ἐντελὴς, τίς ἀνάγκη πλούτου; εἰ αἰδώς ἐστι, τίς ἀνάγκη κοσμημάτων; εἰ δύναμίς ἐστιν εἰς ποίησιν καὶ συγγραφὴν (3), τίς ἀνάγκη βασιλείας;

22. Ἐκεῖνοι καλῶς διάγουσιν ἐν τούτῳ τῷ κόσμῳ, οἷς ὑπάρχουσιν αὗται αἱ μέθοδοι· φιλοφροσύνη πρὸς οἰκείους, ἐπιείκεια πρὸς ὑπηρέτας, μῖσος πρὸς κακοὺς, φιλία πρὸς ἀγαθοὺς, εὐπείθεια πρὸς Βασιλέα, σέβας πρὸς σοφοὺς, ἀνδρία πρὸς ἐχθροὺς, ὑπομονὴ πρὸς γονεῖς, καὶ φενάκη (πανουργία) πρὸς γυναῖκας (4).

23. Εἰπὲ, τί οὐ ποιεῖ τοῖς ἀνθρώποις ἡ τῶν σοφῶν

---

(1) Πάντες, δηλονότι, συγγενεῖς καὶ οἰκεῖοι γίνονται ἐν ξένῃ γῇ τῷ πεπαιδευμένῳ ἀνδρί.

(2) Ἡ γὰρ θέα τοῦ εὐμενοῦς ἀναῤῥώννυσι τὸν ἄῤῥωστον καὶ εὐφραίνει τὸν ἀνιώμενον.

(3) Ὁ γὰρ Ποιητὴς καὶ Συγγραφεὺς πανταχοῦ τιμᾶται, καὶ ἀείμνηςος διατελεῖ.

(4) Οὐ δεῖ λέγειν ἀλήθειαν, οὐδὲ πίστιν ἔχειν πρὸς γυναῖκας, ἀλλὰ φενάκῃ καὶ ἀπάτῃ χρῆσθαι.

καὶ σπουδαίων ὁμιλία; ἀφαιρεῖται τὴν τοῦ νοὸς μωρίαν, ἐνστάζει ἀλήθειαν τοῖς λόγοις, δίδωσι μέγα φρόνημα, πόῤῥω ποιεῖ τὴν κακίαν, εὐφραίνει τὴν καρδίαν, καὶ παρατείνει τὸ κλέος εἰς πᾶν μέρος τοῦ κόσμου.

24. Καθὼς μακάριοι καὶ ὑπέρτεροί εἰσιν οἱ σοφοὶ ἄνδρες, οἱ πίνοντες τὸν χυμὸν τῆς παιδείας, ὧν τὸ ὄνομα ἀγήρατον μένει καὶ ἀθάνατον, οὕτω καὶ οἱ ἀγαθοὶ ἄνδρες, οἱ πίνοντες τὸν ἀμβρόσιον χυμὸν, ὧν τὸ θεῖον σῶμα μένει ἀγήρατον καὶ ἀθάνατον.

25. Ἡσθέντος τοῦ ὑψίστου Θεοῦ, ταῦτα πάντα ἐπίκτητα τῷ ἀνθρώπῳ γίνεται· υἱὸς ἀγαθοεργὸς, γυνὴ σώφρων, δεσπότης εὐμενὴς, φίλος εἰλικρινὴς, θεράπων ἄδολος, καρδία χαρίεσσα, εἶδος ἀγλαὸν, πλοῦτος σταθερὸς, καὶ στόμα, σοφίαν ἐξερευγόμενον.

26. Ἐν ἅπασι τοῖς νόμοις ἐξ ἴσου ἐντεταλμένον ἐςὶ καὶ ἀναντίῤῥητον, καὶ εὐθεῖα ὁδὸς, ἄγουσα εἰς ἀγαθά, ἕκαστον τούτων· ἡ ἀποχὴ φόνου καὶ ἁρπαγῆς ἀλλοτρίων κτημάτων, ἡ ἀληθολογία, ἡ κατὰ δύναμιν ἐλεημοσύνη ἐν προσήκοντι καιρῷ, τὸ μὴ ἐκφέρειν μηδὲ ψιλὸν λόγον περὶ γυναικὸς ἀλλοτρίας, ἡ ἐπίσχεσις τῆς ὁρμῆς τῆς πλεονεξίας, ἡ πρὸς τοὺς κρείττονας εὐπείθεια, καὶ ἡ πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνία.

27. Οἱ μὲν ἐλάχιστοι καὶ μικρόψυχοι οὐκ ἄρχονταί τινος πράγματος διὰ φόβον τῶν ἐν μέσῳ συμβαινόντων ἐμποδίων· οἱ δὲ μέσοι, ἀρξάμενοι καὶ ἐντυχόντες τινὶ συμπτώματι, παύονται· οἱ δ' ἄριστοι καὶ μεγαλόψυχοι, ἀρξάμενοι, οὐ παύονται, καί περ ἐντυγχάνοντες συμπτώμασι πολλοῖς καὶ ἐμποδίοις.

28. Διαγωγὴν δεῖ ἔχειν ἀρεστὴν (εὐάρεστον) καὶ νό-

μιμον· οὐ δεῖ ποιεῖν τὸ κακὸν, εἰ καὶ ἡ ζωὴ κινδυνεύει, οὐδ' αἰτεῖν τι παρὰ φαύλων καὶ κακῶν, οὐδὲ μὴν παρ' ἀγαθοῦ καὶ εὐμενοῦς, ὅς ἐστιν ἐνδεής· ἐν μεγάλῃ ἀτυχίᾳ ἀνδρίζεσθαι δεῖ, καὶ φρόνημα ἔχειν μεγαλοφρόνων ἀνδρῶν. Οἱ μὲν οὖν ἀγαθοὶ οὕτω διάγουσι· παρὰ τίνος δ' ἔμαθον οὗτοι τοιαύτην δύσκολον καὶ ἐπικίνδυνον διαγωγήν;

29. Ἆρα ὁ λέων, ὁ κορυφαῖος τῶν μεγαλοφρόνων, ὃς ἐπιθυμεῖ μιᾶς ἐνθέσεως κρέατος ἐκ τοῦ διεῤῥηγμένου τοῖς ὄνυξι μετώπου μανικοῦ ἐλέφαντος, ἔδεται ξηρὰν πόαν, κᾂν πρόσπεινος ᾖ, καὶ γηραλέος, ἢ ἀδρανὴς, καὶ ἐν ἐσχάτῃ καὶ κακῇ στάσει, ἢ ἐν κινδύνῳ ζωῆς (1);

30. Ὁ μὲν κύων, εὑρὼν ὀστάριον γυμνὸν κρέατος, λίαν ἥδεται, καίτοι οὐ καταπαύει αὐτὸ τὴν πεῖναν αὐτοῦ, ὁ δὲ λέων, ἀφεὶς τὸν κυνόλυκον (2), καίτοι πλησίον ἐστὶ, καταδιώκει, καὶ κατακαίνει ἐλέφαντα (3)· πᾶς τις μεγαλόφρων, εἰ καὶ ἐν δεινοῖς ἐστι, ζητεῖ ὅμως τὸ ἀνάλογον καὶ ἁρμόζον τῇ αὐτοῦ φύσει.

31. Ὁ μὲν κύων σείει τὴν οὐρὰν αὑτοῦ ἔμπροσθεν τοῦ τροφέως, σκαλίζει τὴν γῆν τοῖς ποσὶ, καὶ πίπτων ὕπτιος κατὰ γῆς, καὶ κυλιόμενος δεικνύει τὴν κοιλίαν καὶ τὸ πρόσωπον αὑτοῦ· ὁ δὲ μεγαλόφρων ἐλέφας, σο-

(1) Ἀλληγορικὸν τοῦτο καὶ παραδειγματικὸν, ὥςπερ εἰ ἔλεγεν· ὁ μεγαλόφρων καὶ μεγαλοπρεπὴς οὐ πράττει μικροπρεπῆ, εἰ καὶ ἡ ζωὴ αὐτοῦ κινδυνεύει.

(2) Κυνόλυκος, ζῶον ἄγριον, μεταξὺ κυνὸς καὶ λύκου, ὃ Τουρκιστὶ μὲν λέγεται Τσακάλ, Περσιστὶ δὲ Σιγάλ.

(3) Ἀλληγορικὸν τοῦτο, ὅμοιον δ' ἂν εἴη ὥςπερ εἰ ἔλεγεν· ὁ μὲν μικροπρεπὴς μικροπρεπῆ, ὁ δὲ μεγαλοπρεπὴς μεγαλοπρεπῆ πράττει.

βαρῶς βλέπει (1) τὸν τροφέα, καὶ ἡδυλογίαις πολλαῖς καὶ κολακείαις ἐσθίει (2).

32. Τίς οὐ γεννᾶται ἐν τῷ κυκλοφορικῷ τούτῳ βίῳ; ἐκεῖνος ὅμως κυρίως γεννᾶται, οὗ γεννηθέντος, τὸ γένος αὐτοῦ ἔξαρσιν καὶ ὑπεροχὴν λαμβάνει.

33. Διττή ἐστιν ἡ διαγωγὴ τοῦ μεγαλόφρονος, ὡς καὶ ἡ τοῦ ἄνθους· ἤτοι ἐπὶ κορυφῆς ἐστι πάντων ἐν κόσμῳ, ἢ φθίνει ἐν ἐρήμῳ (3).

34. Τί οὐ δίδοται παρὰ τῶν μεγαλοφρόνων; ὁ μὲν Καρνᾶς (4) ἔδωκε τὸ ἑαυτοῦ δέρμα, ὁ δὲ Σιβὴς (5) τὴν

---

(1) Οὐχὶ μόνον τὸ βλέμμα, ἀλλὰ καὶ τὸ βάδισμα τοῦ ἐλέφαντος σοβαρόν ἐστι.

(2) Ἀλληγορικὸν καὶ τοῦτο καὶ ὅμοιον τῷ ἀνωτέρῳ.

(3) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγε· καθὼς τὸ ἀγλαὸν ἄνθος ἢ ἐπὶ κορυφῆς τίθεται πάντων ἐν κόσμῳ, ἢ φθίνει καὶ μαραίνεται ἐν ἀγρῷ, οὕτω καὶ ὁ μεγαλόφρων ἄνθρωπος ἢ ἐν κόσμῳ διάγει ἐν δόξῃ καὶ τιμῇ παρὰ πᾶσιν, ἢ ἐν ἐρήμῳ ἐν ἀσκήσει καὶ σκληραγωγίᾳ.

(4) Καρνᾶς, ἡμίθεος, υἱὸς τοῦ Ἡλίου καὶ τῆς Βαλίσσης, μέγα ἔχων ὄνομα ἐπί τε τέχνῃ πολεμικῇ, καρδίᾳ ἡρωϊκῇ, μεγαλοφροσύνῃ, καὶ μεγαλοδωρίᾳ· οὗτος ἐγεννήθη μετὰ θώρακος ἀδιαῤῥήκτου, ὃς ἦν προσκεκολλημένος τῇ ἐπιδερμίδι· ἐκδείρας δ' ἔδωκεν αὐτὸν τὸν θώρακα τῷ Ἴνδρᾳ, αἰτήσαντι.

(5) Σιβὴς, Βασιλεὺς ὀνομαστὸς ἐπὶ θεοσεβείᾳ καὶ μεγαλοδωρίᾳ· καί ποτε θύοντος, περιστερὰ, διωκομένη ὑπὸ ἱέρακος, κατέφυγε καὶ ἐκρύβη ἐν τῷ κόλπῳ αὐτοῦ· ἦν δὲ ἡ μὲν περιστερὰ ὁ Ἀγνὴς, ὁ θεὸς τοῦ πυρός, ὁ δὲ ἱέραξ, ὁ Ἴνδρας, οἳ μετεμορφώθησαν, πειραθεῖναι βουλόμενοι. Ὁ μὲν οὖν ἱέραξ ἔφη τῷ βασιλεῖ· « Δός μοι τὸ διατεταγμένον θεόθεν βρῶμά μου. » ὁ δὲ, « οὐ προδίδωμι, ἔφη, τὴν καταφυγοῦσαν εἰς ἐμὲ περιστεράν· ἄλλο δέ » τι λάβε ἀντὶ ταύτης εἰς πλήρωσιν τῆς γαςρός» · « Οὐκ ἄλλο τι, ἔφη, θέλω, » ἀλλ' ἢ μέρος τῆς σαρκός σου, ὅσον ἕλκει ἡ περιστερά.» Στέρξας δ' ὁ Βασιλεὺς περιχαρῶς, ἤρξατο κατακόπτειν ἀφειδῶς τὴν σάρκα ἑαυτοῦ. Ὁ δὲ Ἴνδρας καὶ ὁ Ἀγνής, θαυμάσαντες τὴν καρτερίαν τοῦ Σιβῆ, ἀνέλαβον τὴν οἰκείαν μορφὴν, καὶ ὑμνήσαντες, ἀπεκατέστησαν αὐτὸν σῶον καὶ ὑγιᾶ, ὡς ἦν πρότερον.

ἑαυτοῦ σάρκα, ὁ δὲ Ζιμουταχαβάνας (1) τὴν ἑαυτοῦ ζωήν, ὁ δὲ Δαδδίσης (2) τὰ ἑαυτοῦ ὀστέα.

35. Οἱ μὲν μικρόφρονες διαφορὰν λογίζονται τοῦ οἰκείου καὶ τοῦ ἀλλοτρίου· οἱ δὲ μεγαλόφρονες πάντας τοὺς ἐν γῇ, ὡς οἰκείους λογίζονται.

36. Ὁ δωρητικὸς ἀεὶ αἰτεῖται ὑπὸ τῶν αἰτούντων, εἰ καὶ ἔφθινεν ὁ πλοῦτος αὐτοῦ· παραδείγματος χάριν, εἰ καὶ ξηρός ἐστιν ὁ ποταμὸς, ἀνορύσσεται ὅμως ὑπὸ τῶν ζητούντων ὕδωρ.

37. Ἰδὲ, καί τοι εἰσὶν ἄλλοι πέντε πλάνητες ὀνομαστοὶ, οὐκ ἔρχεται ὅμως ἐπ' αὐτοὺς ἐχθρωδῶς ὁ Ῥαχοῦς (3) ὁ ἀρχηγὸς τῶν Τιτάνων, ὁ μόνην τὴν κεφαλὴν ἔχων, καὶ μεγαλουργίαν θέλων, ἀλλ' ἐπὶ τὸν ἥλιον καὶ ἐπὶ τὴν σελήνην, ὡς ὄντας λαμπροτέρους καὶ μείζονας τῶν λοιπῶν πλανήτων (4).

38. Ὦ τῆς μεγάλης δυνάμεως τῶν δυνατῶν καὶ με-

---

(1) Ζιμουταχαβάνας, υἱὸς βασιλέως, λίαν εὐσεβὴς καὶ εὔσπλαγχνος· ὃς ἰδὼν ὄφιν, ὃς ἦν διατεταγμένος εἰς βρῶσιν τοῦ Γαρούδα, ἐλεήσας, ἔδωκεν ἑαυτὸν τῷ Γαρούδᾳ εἰς σωτηρίαν τοῦ ὄφεως. Γαρούδας λέγεται ὁ ἀετός, ὄρνις ἱερός, ὅς ἐστιν ὄχημα τοῦ Βισνοῦ· τὸν ἀετὸν γὰρ ἔχει ὄχημα ὁ Ἰνδικὸς ὕπατος τῶν Θεῶν Βισνοῦς, ὡς καὶ ὁ ἑλληνικὸς Ζεύς.

(2) Δαδδίσης, ἀναχωρητὴς καὶ ἀσκητὴς μέγας καὶ περιβόητος, ὃς ἐκ τῆς ἄκρας ἀσκήσεως καὶ σκληραγωγίας, σκληρὰ ἔσχε καὶ στερέμνια, ὡς ἀδάμαντας, τὰ ἑαυτοῦ ὀστέα. Παρακληθεὶς δ' ὑπὸ τῶν θεῶν, ἔδωκε τὰ ἀδαμάντινα αὐτοῦ ὀστᾶ τῷ Ἴνδρᾳ, ἐξ ὧν κατεσκευάσθη ὁ κεραυνὸς τοῦ Ἴνδρα εἰς ἀναίρεσιν ἑνὸς ἀντιθέου Τιτᾶνος, ὃς ἦν ἄτρωτος ἄλλῳ μετάλλῳ.

(3) Ῥαχοῦς μυθευόμενος Τιτάν, μόνην τὴν κεφαλὴν ἔχων, ὃς ἐφορμᾷ εἰς τὸ καταπιεῖν τὸν ἥλιον καὶ τὴν σελήνην· ἐκ δὲ τούτου γίνεται ἡ ἔκλειψις.

(4) Ἀλληγορικὸν τοῦτο, ὅμοιον δ' ἂν εἴη ὥςπερ εἰ ἔλεγεν· ὁ μέγας κατὰ τῶν μεγάλων μεγαλουργίαν δεικνύει.

γάλων! ὁ μὲν δράκων Σέσσης φέρει εὐμαρῶς τὴν γῆν ἐπὶ κορυφῆς, τὸν δὲ Σέσσην ἡ χελώνη ἐπὶ νώτου, τὴν δὲ χελώνην ὁ Ὠκεανὸς ἐν ἀγκάλαις (1).

39. Κάλλιον ἦν τῷ Μαϊνάκᾳ (2) ἀποτμηθῆναι τὰς πτέρυγας ἀπὸ τοῦ ἐξεμοῦντος φλόγας σκηπτοῦ τοῦ θυμοειδοῦς Ἴνδρα, ἢ φυγεῖν, καὶ ἐγκρυβῆναι τοῖς ὕδασι τοῦ Ὠκεανοῦ, τοῦ πατρὸς αὐτοῦ Ἰμαοῦ ὄντος ἐν δεινοῖς.

40. Εἰ ὁ κρύσταλλος, καίπερ ὢν ἀναίσθητος, φλόγας ἐξάγει πυρός, ὅτε θίγεται τοῖς τοῦ Ἡλίου ποσί, τουτέστι ταῖς ἀκτίσι, πῶς ἂν ὁ φιλότιμος ἀνάσχοιτο τῆς παρ' ἄλλων ἀτιμίας (3);

41. Καὶ ὁ σκύμνος λέοντος ἐπιπηδᾷ ἐπὶ τὸν μανικὸν χυμὸν ἔχοντα ἐλέφαντα· φύσις γὰρ αὕτη τῶν γενναίων καὶ ἀνδρείων. Ἡ δὲ ἡλικία οὐκ ἔστιν αἰτία τῆς ἀνδρίας καὶ γενναιότητος (4).

---

(1) Ἔνιοι μὲν οὕτω δοξάζουσιν· ἄλλοι δὲ οὕτως, ὅτι ἡ γῆ ἑδράζεται ἐπὶ τῆς κορυφῆς αὐτοῦ τοῦ δράκοντος, ὅς ἐστι χιλιοκέφαλος· ἄλλοι δὲ, ἐπὶ νώτου χελώνης, καὶ ἄλλοι ἐπὶ τῶν κεράτων θηλείας βοός· ἔστι δὲ πάντα ταῦτα συμβολικὰ τῆς θείας δυνάμεως.

(2) Μυθολογοῦσιν ὡς τὰ ὄρη πτέρυγας εἶχον καὶ ἵπταντο, καὶ εἰς ὅ,τι μέρος τῆς γῆς καθίπταντο, εἴτε πόλισμα ἦν, εἴτε ἀγρὸς, κατέφθειρον τοῦτο· ὁ δὲ θεὸς Ἴνδρας κατέκοψε τὰς πτέρυγας αὐτῶν διὰ τοῦ κεραυνοῦ· μόνος δὲ ὁ Μαϊνάκας, υἱὸς τοῦ Ἰμαοῦ, ἐσώθη, καταφυγὼν εἰς τὸν Ὠκεανὸν, καὶ ἐγκρυβεὶς τοῖς ὕδασιν αὐτοῦ.

(3) Τὸ πρωτότυπον χάριν ἔχει, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής· πάδα γὰρ λέγεται καὶ ὁ ποῦς καὶ ἡ ἀκτίς. Ὅτι ὁ ἀναίσθητος κρύσταλλος θυμοῦται, καὶ διὰ τοῦτο ἐξάγει πῦρ, καταπατούμενος ὑπὸ τοῦ ἡλίου, πολλῷ μᾶλλον ὁ ἔχων αἴσθησιν ἄνθρωπος, ἀτιμαζόμενος.

(4) Ὅμοιον ἂν εἴη ὥσπερ εἰ ἔλεγε· δεῖ τῷ υἱῷ συμπάσχειν πάσχοντι τῷ πατρί.

42. Ἐῤῥέτω ἐς βάραθρον τὸ λαμπρὸν γένος· χωρείτω εἰς χάος πᾶσα ἐπιστήμη καὶ μάθησις· κρημνισθήτω ἀφ' ὑψηλοῦ κρημνοῦ ἡ χρηστοήθεια· καυθήτω πυρὶ ἡ μεγάλη πατρίς· σκηπτὸς πεσάτω κατὰ τῆς ἀνδρίας· πᾶσαι γὰρ αὗται αἱ ἀρεταὶ, οὐδέν εἰσιν ἄνευ χρημάτων· χρήματα ἄρα μόνον ἔστω ἡμῖν.

43. Παράδοξον τοῦτο! ἐκεῖναί εἰσιν ἅπασαι αἱ αἰσθήσεις· ἐκείνη ἡ πρώτη διαγωγή· ἐκεῖνος ὁ νοῦς ἀπαράλλακτος· ἐκεῖνος ὁ λόγος· ἄλλος ὅμως γίνεται ἐν ἀκαρεῖ ὁ ἄνθρωπος, ὁ στερηθεὶς τῆς θερμότητος τοῦ πλούτου.

44. Ὧ τινι ἔστι πλοῦτος, οὗτος εὐγενὴς, οὗτος σοφὸς, οὗτος πολυμαθὴς, οὗτος φιλόκαλος, οὗτος λόγιος, οὗτος εὐειδής· ἅπασαι αἱ ἀρεταὶ ὑποκείμεναί εἰσι τῷ πλούτῳ.

45. Τρεῖς εἰσιν αἱ στάσεις τοῦ πλούτου, ἡ μετάδοσις, ἡ ἀπόλαυσις καὶ ἡ ἀπώλεια· ὅςτις οὔτε μεταδίδωσι τοῦ πλούτου, οὔτε ἀπολαύει αὐτοῦ, τούτῳ ἡ τρίτη στάσις γίνεται.

46. Ὁ μὲν βασιλεὺς ἀπόλλυται ἐκ τῆς κακοβουλίας, ὁ δὲ μοναστὴς ἐκ τῆς ἐπιμιξίας, ὁ δὲ υἱὸς ἐκ τῆς φιλοστοργίας, ὁ δὲ Βραχμὰν ἐκ τῆς ἀμαθείας, ὁ δὲ λαμπρὸς οἶκος ἐκ τῆς κακοτεχνίας, ἡ δὲ χρηστοήθεια ἐκ τῆς τῶν κακῶν ὁμιλίας, ἡ δ' αἰδὼς, ἐκ τῆς οἰνοποσίας, ὁ δ' ἀγρὸς ἐκ τῆς ἀμελείας, τὸ δὲ φίλτρον ἐκ τῆς ἀποδημίας, ἡ δὲ φιλία ἐκ τῆς ἀστοργίας, ὁ δὲ πλοῦτος ἐκ τῆς ἀσωτίας, τὰ δὲ κτήματα ἐκ τῆς ἀφροντισίας.

47. Ταῦτα πάντα ἀγλαΐζονται ἐκ τῆς μειώσεως· ἡ μὲν πολύτιμος λίθος ὅταν προστριβῇ τῷ θηκτικῷ τρο-

χῷ, ὁ δὲ νικητὴς ἐν πολέμῳ, ὅταν κατατμηθῇ τοῖς ὅπλοις, ὁ δὲ ἐλέφας, ὅταν στερηθῇ τοῦ μανικοῦ χυμοῦ, οἱ δὲ ποταμοί, ὅταν ἐλαττωθῇ τὸ ὕδωρ μετὰ τοὺς ὄμβρους, ἡ δὲ σελήνη, ὅταν γένηται μηνοειδής, ἡ δὲ νέα γυνή, ὅταν τὰ ἄνθη συντριβῶσι, καὶ τὰ κοσμήματα διασκορπισθῶσιν ἐν συνουσίᾳ, οἱ δὲ ἄνθρωποι, ὅταν δαπανήσωσι τὸν πλοῦτον πρὸς τοὺς αἰτοῦντας πτωχούς.

48. Ὁ ἄνθρωπος, ἐνδεὴς μὲν ὢν καὶ ἐν χήτει, ἐπιθυμεῖ μιᾶς δρακὸς κριθῆς, ὡς μεγάλου πράγματος· ἀνενδεὴς δ' ὢν ἔπειτα καὶ πλήρης, τὰ τῆς γῆς πάντα ἀγαθὰ εἰς οὐδὲν τίθεται· δῆλον δέ ἐστιν ἐκ τούτου, ὡς οὔτε βραχύτης, οὔτε μέγεθος ἀεὶ θεωρεῖται ἐν τοῖς πράγμασιν· ἡ γὰρ κατάστασις τῶν ἀνθρώπων ποτὲ μὲν αὐτὰ βραχύνει, ποτὲ δὲ μεγεθύνει.

49. Ὦ Βασιλεῦ, εἰ ἐφίεσαι ἀμέλγειν ταύτην τὴν γῆν ὡς δάμαλιν, φρόντιζε τούτου τοῦ κόσμου, ὡς μόσχου (1)· καλῶς γὰρ διοικουμένου τοῦ κόσμου, ἡ γῆ πολλὰ ἀγαθὰ δίδωσιν, ὡς τὸ πάνδωρον δένδρον (2).

50. Πολυειδές ἐστι τὸ τοῦ Βασιλέως ἦθος, ὡς καὶ τὸ τῆς ἑταίρας· ἀληθῆ λέγει καὶ ψευδῆ, πικρά τε καὶ ἡδέα, ἀναιρεῖ καὶ ἐλεεῖ, φείδεται καὶ χαρίζεται, ἀεὶ πολλὰ δαπανᾷ, καὶ ἀεὶ πολλὰ συνάγει, καὶ θησαυρίζει.

51. Οἷς τισιν οὐκ ἔστι ταῦτα τὰ πλεονεκτήματα, προσταγὴ ἀπαράβατος, κλέος, προστασία τῶν ἀγαθῶν

---

(1) Ὅταν ἀμελούμενος ὁ μόσχος θάνῃ, ἡ δάμαλις ὀλίγον γάλα δίδωσιν.

(2) Μυθολογοῦσιν ὡς ἐν τῷ παραδείσῳ τοῦ Ἴνδρα δένδρον ἐστὶ πάνδωρον, ὃ δωρεῖται πᾶν ἐφετὸν τοῖς τε θεοῖς καὶ τοῖς λοιποῖς οὐρανοπώλοις.

ἀνδρῶν, μετάδοσις καὶ ἀπόλαυσις τῶν ὧν ἔχουσιν ἀγαθῶν, καὶ φροντὶς τῶν φίλων, τί ὄφελος τούτοις ἐκ τῆς παρὰ τῷ βασιλεῖ τιμῆς;

52. Ὅσος πλοῦτος, ἤτοι ὀλίγος, ἢ πολύς, ἐχαράχθη ἐν τῷ μετώπῳ ἑκάστου ὑπὸ τοῦ Βραχμᾶ, τοσούτου ἐπιτυγχάνει ὁ ἄνθρωπος, καὶ οὐ πλείονος, κἂν ἐν ἀμμώδει τόπῳ ᾖ, κἂν ἐν Μερόῃ (1), τῷ χρυσῷ ὄρει· ὅθεν, ὦ φίλη ψυχή, σταθερὰ ἔσο, καὶ μὴ πρότεινε ταπεινὴν δέησιν ματαίως (2). Ἰδέ, ἡ στάμνος καὶ ἐν φρέατι ὀλιγούδρῳ καὶ ἐν πελάγει πολυύδρῳ τὴν αὐτὴν ποσότητα ὕδατος δέχεται καὶ χωρεῖ.

53. Τίνι οὐκ ἔστι δῆλον, ὦ Νεφέλη, ὅτι σὺ εἶ ἡ ἐλπὶς τοῦ Σατάκα (3); διατί οὖν ἀφορᾷς εἰς τὴν ἡμετέραν ταπεινὴν δέησιν (4);

54. Ἄκουσον ἐν βραχεῖ, ὦ φίλε Σατάκα, προσεκτικῷ τῷ νοΐ· εἰ καὶ πολλά εἰσι νέφη ἐν αἰθέρει, πάντα ὅμως οὐκ εἰσιν ὅμοια· ἄλλα μὲν γάρ, βρέχοντα, ἀρδεύουσι τὴν γῆν, ἄλλα δὲ βροντῶσι μόνον ματαίως· ὅ,τι οὖν νέφος βλέπεις, πρὸς τοῦτο μὴ λέγε λόγον ταπεινόν (5).

---

(1) Μερόη, μυθευόμενον ὄρος, κατὰ τὸ ἀρκτῷον μέρος, ὅπερ ἐστὶν ὁλόχρυσον καὶ ἐνδιαίτημα τῶν θεῶν.

(2) Ὅμοιον ἂν εἴη ὥσπερ εἰ ἔλεγεν· Ὦ πτωχέ, βλέπων πλουσίους, μὴ προτείνῃς ταπεινοὺς λόγους, ἐλπίζων, ὅτι τεύξῃ πολλῶν· ὅσον γὰρ προωρισμένον ἐστί, τοσούτου τεύξῃ, καὶ οὐ πλείονος.

(3) Σατάκας, ὄρνεον μικρόν, ὅπερ, ὥς φασι, ζῇ, πίνον ὕδωρ ὑέτιον.

(4) Ἀλληγορικὸν τοῦτο ὥσπερ εἰ ἔλεγεν· ὦ ἔνδοξε καὶ πλούσιε, δεῖ διδόναι τοῖς ἐλπίζουσιν εἰς σέ, ἄνευ τοῦ αἰτεῖσθαι ταπεινῶς.

(5) Ἀλληγορικόν, ὥσπερ εἰ ἔλεγεν· ὦ πτωχέ, ὅσους βλέπεις ἐνδόξους καὶ πλουσίους, μὴ ποιῇς ταπεινὴν δέησιν πρὸς αὐτούς· οὐ γὰρ πάντες εἰσὶ φιλόδωροι.

σπουδαίων ὁμιλίας, τιμὴ τῆς ἀρετῆς τῶν ἄλλων, ταπείνωσις πρὸς τοὺς σεβασμίους, κλίσις εἰς τὴν παιδείαν καὶ μάθησιν, ἀγάπη πρὸς τὴν οἰκείαν γυναῖκα, φόβος ἐκ κατηγορίας τοῦ κόσμου, εὐλάβεια εἰς Θεόν, καρτερία εἰς χαλιναγωγίαν τῶν παθῶν, καὶ ἀποχὴ τῆς τῶν κακῶν ἐντεύξεως.

66. Ἔμφυτά ἐστι ταῦτα τοῖς μεγαλόφροσι· καρτερία ἐν ἀτυχίᾳ καὶ ἀδοξίᾳ, ἀνεξικακία ἐν εὐτυχίᾳ καὶ εὐδοξίᾳ, εὐγλωττία ἐν βουλευτηρίῳ, ἀνδραγαθία ἐν πολέμῳ, κλίσις εἰς εὔκλειαν, καὶ σπουδὴ εἰς μάθησιν.

67. Παρὰ τοῖς ἀγαθοῖς ταῦτά ἐστι τὰ ἀγαθά· κρυφία ἐλεημοσύνη, ὑποδοχὴ πρὸς τὸν ἐλθόντα ξένον εἰς οἶκον, εὐεργεσία πρὸς ἄλλους μυστικὴ καὶ ἄῤῥητος, παῤῥησίᾳ ὁμολογία τῆς παρ' ἄλλων εὐεργεσίας, ἀκομπία ἐν εὐτυχίαις, καὶ ὑμνολογία εἰς Θεόν, ἥ ἐστι τὸ μάλιστα κύριον ἐν τούτῳ τῷ κόσμῳ. Αὕτη ἡ δύσκολος διαγωγὴ ὑπὸ τίνος ἐδιδάχθη;

68. Ἐν μὲν εὐτυχίαις ἡ καρδία τῶν μεγαλοψύχων ἁπαλή ἐστιν, ὡς τὸ ἄνθος, ἐν δ' ἀτυχίαις σκληρά, ὡς ἡ πέτρα (1).

69. Καθὼς ἡ σταγὼν ὕδατος, ἐν μὲν θερμῷ σιδήρῳ πεσοῦσα οὐδαμῶς φαίνεται, ἐν δὲ τῷ φύλλῳ τοῦ λωτοῦ μαργαρίτης φαίνεται (2), ἐν δὲ τῇ κόχλῳ μαργαρίτης

---

(1) Ἐν μὲν εὐτυχίαις εὔσπλαγχνοί εἰσιν, ἐν δ' ἀτυχίαις καρτερικοὶ ἄνευ γογγυσμοῦ.

(2) Τὸ φύλλον τοῦ λωτοῦ λιπαρόν ἐστιν· ὅθεν ὅταν πέσῃ ῥανίς τις ὕδατος εἰς αὐτὸ, οὐ διασκεδάννυται, ἀλλὰ στρογγύλη μένει, καὶ φαίνεται ὡς μαργαρίτης. Φρονοῦσιν ὡς ἐκ τῆς ῥανίδος ὑετίου ὕδατος μαργαρίτης γίνεται.

ἀληθὴς γίνεται· οὕτως ὡς ἐπὶ τὸ πλεῖστον γίνεται καὶ τὸ ἐλάχιστον καὶ μέσον καὶ ἄριστον ἦθος τῶν ἀνθρώπων ἐκ τῆς συντυχίας (1).

70. Ἐκεῖνός ἐστιν υἱὸς, ὃς εὐφραίνει τὸν πατέρα ἀγαθοῖς ἔργοις· ἐκείνη ἐστὶ γυνὴ, ἣ θέλει τὸ ὠφέλιμον καὶ ἀρεστὸν τῷ ἀνδρί· ἐκεῖνός ἐστι φίλος, ὃς καὶ ἐν εὐτυχίᾳ καὶ ἐν ἀτυχίᾳ τοῦ φίλου τὰ αὐτὰ ποιεῖ· τούτων τῶν τριῶν ἀγαθῶν οἱ ἀγαθοεργοὶ τυγχάνουσιν ἐν τούτῳ τῷ κόσμῳ.

71. Παμπόθητοί εἰσι καὶ πανσέβαστοι οἱ ἀγαθοὶ ἄνδρες, οἱ θαυμαστὰ ἔργα πράττοντες, δηλονότι, οἱ ὑψούμενοι διὰ ταπεινώσεως, καὶ φανεροῦντες τὰς οἰκείας ἀρετάς, διὰ τῶν πρὸς ἀλλοτρίας ἀρετὰς ἐπαίνων, καὶ τρόπους ποιοῦντες εἰς ὠφέλειαν ἄλλων, ὡςανεὶ εἰς οἰκείαν ὠφέλειαν, καὶ ἀποκρινόμενοι διὰ τῆς ἀνοχῆς πρὸς τοὺς ἀθυροστομοῦντας εἰς κακολογίας καὶ σκληρολογίας.

72. Καθὼς τὰ μὲν δένδρα, καρπῷ βρίθοντα κάτω κλίνουσι τοὺς κλάδους, τὰ δὲ νέφη, πλήρη ὄντα ὕδατος χθαμηλότερα γίνονται, οὕτω καὶ οἱ ἀγαθοί, πλούτῳ βρίθοντες, ταπεινοὶ γίνονται· τοιαύτη ἐστὶν ἡ φύσις τῶν ἀγαθοεργῶν.

73. Τὸ μὲν οὖς ἀγλαΐζεται δι' ἀκροάσεως ἐπιστημονικῶν καὶ θείων λόγων, ἀλλ' οὐ δι' ἐνωτίου, ἡ δὲ

(1) Ὅμοιον ἂν εἴη ὥςπερ εἰ ἔλεγεν· Ἐκ τῆς τῶν ἐλαχίστων, τουτέστι κακῶν, συντυχίας, φθείρονται τὰ χρηστὰ ἤθη, καὶ ἀντὶ τῶν χρηστῶν κακὰ ἤθη λαμβάνει ὁ ἄνθρωπος· ἐκ δὲ τῆς τῶν μετρίων συντυχίας, μέτριος κατὰ τὰ χρηστὰ ἤθη γίνεται· ἐκ δὲ τῆς τῶν ἀρίστων συντυχίας, ἄριστας καὶ τέλειος κατὰ τὰ χρηστὰ ἤθη γίνεται.

χεὶρ διὰ δόσεως, ἀλλ' οὐ διὰ ψελλίου, τὸ δὲ σῶμα (τῶν φιλοικτιρμόνων) διὰ τῆς πρὸς ἄλλους εὐεργεσίας, ἀλλ' οὐ διὰ τοῦ εὐώδους χρίσματος.

74. Καθὼς ὁ μὲν ἥλιος, μὴ αἰτούμενος, γανοῖ, τουτέστι διεκπετάννυσι τὸν ἡμερανθῆ λωτὸν, ἡ δὲ σελήνη τὸν νυκτανθῆ (1), τὸ δὲ νέφος ὕδωρ δίδωσιν, οὕτω καὶ οἱ ἀγαθοὶ ἀγαθὰ ποιοῦσιν οἴκοθεν πρὸς ἄλλους.

75. Ὅσοι, ἀφέντες τὸ οἰκεῖον ὄφελος, ποιοῦσιν ὄφελος πρὸς ἄλλους, οὗτοί εἰσιν ἄριστοι· ὅσοι δὲ, καὶ τὸ οἰκεῖον ὄφελος ποιοῦσι καὶ τὸ ἀλλότριον, οὗτοί εἰσι μέσοι, ὅσοι δὲ φθείρουσι τὸ ἀλλότριον ὄφελος διὰ τὸ οἰκεῖον, οὗτοι ἐλάχιστοί εἰσι καὶ δαιμονιώδους φύσεως· οὐκ οἶδα δὲ, τί ὀνομάσω ἐκείνους, οἳ φθείρουσι τὸ ἀλλότριον ὄφελος, μηδὲν ὄφελος αὐτοὶ ἀπολαμβάνοντες.

76. Τὸ μὲν γάλα δίδωσι πάσας τὰς ἑαυτοῦ ἰδιότητας τῷ μιχθέντι ὕδατι· τὸ δ' ὕδωρ, βλέπον τὸ γάλα καιόμενον, κατακαίεται αὐτό, ἵνα μὴ κατακαῇ ἐκεῖνο· βλέπων δὲ τὸ γάλα, ὅτι τὸ φίλον ὕδωρ πάσχει, ἀναβράζει, καὶ θέλει εἰς τὸ πῦρ πεσεῖν· μιχθὲν δὲ πάλιν ὕδατι, καθησυχάζει· τοιαύτη ἐστὶν ἡ τῶν ἀγαθῶν φιλία (2).

---

(1) Τοῦ Λωτοῦ ὁ μέν ἐστιν ἡμερανθής, ὁ δὲ νυκτανθής· καὶ ὁ μὲν νυκτανθὴς γίνεται κατὰ τὸν Σεπτέμβριον καὶ Ὀκτώβριον, ὁ δὲ ἡμερανθὴς κατὰ τὸν Ἀπρίλιον· καὶ ἄλλοι μέν εἰσι λευκοί, ἄλλοι δ' ἐρυθροί, ἄλλοι δὲ κυάνεοι, σπάνιοι δ' οὗτοι. Ἔστι δὲ ὁ λωτὸς, ἄνθος κρινοειδὲς, φυόμενον ἐν λίμναις τῆς Ἰνδίας· φύεται δὲ καὶ ἐν Αἰγύπτῳ, κατὰ τὸν Ἡρόδοτον, ὅς λέγει οὕτως· «Ἐπεὰν πλήρης γένηται ὁ ποταμὸς, καὶ τὰ » πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλὰ, τὰ Αἰγύπτιοι καλέουσι » λωτόν ».

(2) Ἀλληγορικὸν τοῦτο· ὅμοιον δ' ἂν εἴη ὥσπερ εἰ ἔλεγεν. Ὁ ἀληθὴς φίλος ἀγαθῶν αἴτιος γίνεται τῷ φίλῳ, καὶ συμπάσχει πάσχοντι τῷ φίλῳ.

77. Ὦ! μέγα καὶ ἐκτεταμένον ἐστὶ τὸ σῶμα τοῦ Ὠκεανοῦ, καὶ ἄχθους πολλοῦ ἀνέχεται (1)! ἔνθεν μὲν ἀναπαύεται ὁ Βισνοῦς (2)· ἔνθεν δὲ διατρίβουσιν οἱ ἀντίθεοι καὶ μισόθεοι Τιτᾶνες· ἔνθεν δε κεῖνται τὰ καταφυγόντα ὄρη (3)· ἔνθεν δὲ τὸ θαλάσσιον πῦρ (4)· ἔνθεν δὲ τὰ τὸν κατακλυσμὸν ποιοῦντα νέφη (5).

78. Ἀπόκοψον τὴν πλεονεξίαν· ἀσπάζου τὴν ἀνοχήν· ἄφες τὴν ἔπαρσιν· μὴ ἔχε κλίσιν εἰς τὸ κακόν· λέγε ἀλήθειαν· ὅδευε τὴν ὁδὸν τῶν ἀγαθῶν· σέβου τοὺς σοφούς· τίμα τοὺς τιμίους· κολάκευε καὶ τοὺς ἐχθρούς· πρὸς φῶς ἄγε τὰς οἰκείας ἀρετάς· ἀγάπα εὔκλειαν· ποίει ἔλεος πρὸς πάσχοντας· ταῦτα σημεῖά ἐστι τῶν ἀγαθῶν.

79. Σπάνιοί εἰσιν οἱ ἀγαθοὶ ἄνδρες, οἱ ὄντες πλήρεις ἀρετῆς, ὡς ἀμβροσίας, καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, καὶ εὐφραίνοντες τὸν κόσμον ἀλλεπαλλήλοις εὐεργεσίαις, καὶ οἱ ὡς ὄρος μέγα ποιοῦντες τὰς ἀρετὰς τῶν ἄλλων, εἰ καὶ μικραί εἰσιν, ὡς ἄτομα, καὶ γεγανωμένην ἔχοντες τὴν ἑαυτῶν καρδίαν.

---

(1) Ἀλληγορικόν, ὅμοιον δ' ἂν εἴη ὥσπερ εἰ ἔλεγεν. Ὁ μεγαλόψυχος πολυειδῶν δεινῶν καὶ παθῶν ἀνέχεται.

(2) Μυθολογοῦσιν ὡς ὁ Βισνοῦς ἀναπαύεται ἐπ' ὄφεως χιλιοκεφάλου ἐπὶ τῶν ὑδάτων τοῦ Ὠκεανοῦ.

(3) Οὐ μόνον ὁ Μαϊνάκας, ἀλλὰ καὶ ὄρη τινα κατέφυγον εἰς τὸν Ὠκεανόν, ὅτε κατέκοπτε τὰς πτέρυγας αὐτῶν ὁ Ἴνδρας, ὡς προείρηται.

(4) Μυθολογοῦσιν ὡς πῦρ ἐστιν ἐν τῷ Ὠκεανῷ ἐν σχήματι κεφαλῆς θηλείας ἵππου· διὰ τοῦτο οὐ λαμβάνει αὔξησιν ὁ Ὠκεανός, καίτοι τοσοῦτοι ποταμοὶ εἰςβάλλουσιν εἰς αὐτόν.

(5) Ὅτε κατακλυσμὸς γίνεται, ἐκ τοῦ Ὠκεανοῦ ἐξέρχονται τὰ νέφη, ἐξ ὧν βροχὴ καταπίπτει οὐ κρουνηδόν, ἀλλὰ ποταμηδόν.

80. Τί ὄφελος ἐκ χρυσοῦ ἢ ἀργυροῦ ὄρους (1), ἔνθα ὅσα δένδρα εἰσί, γίνονται δένδρα, ὡς ἔχουσι φύσεως; ἐγὼ ἀγαπῶ τὸν Μαλαίαν (2), ἔνθα καὶ τὰ δένδρα τὰ πικρὰ εὐώδη γίνονται Σάνδανα (3).

81. Καθὼς οἱ θεοί, περιδινοῦντες τὸν Ὠκεανόν, οὔτ' ἐχάρησαν ἐπὶ τοῖς ἐξαχθεῖσι πολυτίμοις πράγμασιν, οὔτ' ἐφοβήθησαν ἐπὶ τῷ φοβερῷ φαρμάκῳ, ἀλλ' οὐδ' ἐπαύσαντο τοῦ πόνου, πρὶν τυχεῖν τῆς ἀμβροσίας, ἣ σκοπὸς ἦν (4), οὕτω καὶ οἱ καρτερικοὶ οὐ παύονται τοῦ πόνου, πρὶν τυχεῖν τοῦ ἐφετοῦ σκοποῦ.

82. Ὁ μεγαλόφρων καὶ μεγαλοπράγμων οὐδαμῶς λογίζεται τὴν ἄνεσιν καὶ τὸν πόνον· ποτὲ μὲν γὰρ ἐπὶ γῆς κοιμᾶται, ποτὲ δὲ ἐπὶ κλίνης· ὁτὲ μὲν λαχανοφάγος, ὁτὲ δὲ ὀρυζοφάγος· καὶ ἄλλοτε μὲν τριβωνοφόρος, ἄλλοτε δὲ λαμπροφόρος (5).

83. Τοῦ μὲν ἐνδόξου κόσμημά ἐστιν ἡ φιλανθρωπία,

---

(1) Χρυσοῦν μὲν ὄρος ἐννοεῖ τὴν Μερόην, περὶ ἧς προείρηται· ἀργυροῦν δὲ τὸν Καϊλάσαν, ἕτερον ὄρος, καὶ αὐτὸ κατὰ τὸ ἀρκτῷον μέρος, ὃ ἐστιν ἐνδιαίτημα τοῦ Κουβέρα, ὅς ἐστι θεὸς τοῦ πλούτου.

(2) Αὐτὸ τὸ ὄρος κεῖται κατὰ τὸ μεσημβρινὸν μέρος τῆς Ἰνδίας, ἔνθα φύεται τὸ δένδρον Σάνδανον, οὗ τὸ ξῦλον εὐῶδές ἐστιν, ὡς τὸ τῆς Κυπαρίσσου. Σανδὰλ λέγεται Ἀραβιστί.

(3) Ἀλληγορικόν, ὅμοιον δ' ἂν εἴη ὥςπερ εἰ ἔλεγε. Τί ὄφελος ἐκ πλουσιωτάτου καὶ ἐνδοξοτάτου, ὅτε ὁ παρ' αὐτῷ ὤν, ἐνδεὴς ἀεὶ μένει; μᾶλλον ἀγαπητός ἐστιν ὁ ἄδοξος, ἐξ οὗ ὄφελός τι προέρχεται.

(4) Μυθολογοῦσιν ὡς οἱ θεοὶ μετὰ τῶν Τιτάνων περιεδίνησαν τὸν Ὠκεανόν, ἐξ οὗ πρὸς τοῖς ἄλλοις πολυτίμοις πράγμασι, καὶ φάρμακον ὀλέθριον ἐξήχθη, ὃ κατέπιεν ὁ Θεὸς Σίβας, ἵνα μὴ ἀπόλοιτο ὁ κόσμος.

(5) Δηλονότι, ἀδιάφορός ἐστι καὶ εἰς τὴν ἄνεσιν καὶ εἰς τὸν πόνον, καὶ εἰς τὴν ἁβρὰν τράπεζαν καὶ εἰς τὴν λιτήν, καὶ εἰς τὰ λαμπρὰ ἱμάτια καὶ πολυτελῆ, καὶ εἰς τὰ ῥακώδη καὶ εὐτελῆ.

τοῦ δ' ἥρωος ἡ ἐχεμυθία, τοῦ δὲ θεόφρονος ἡ ἱλαρότης, τοῦ δὲ πεπαιδευμένου ἡ ταπεινότης, τοῦ δὲ πλουσίου ἡ εἰς τὰ δέοντα δαπάνη, τοῦ δὲ δεσπότου ἡ ἀνοχὴ, τοῦ δ' ἐγκρατοῦς τὸ ἀόργητον, τοῦ δὲ πράττοντος τὰ τοῦ νόμου τὸ ἀνυπόκριτον· πάντων δὲ κοινῶς μέγα κόσμημά ἐστιν ἡ χρηστοήθεια, ἡ πάντων τῶν ἀγαθῶν αἰτία.

84. **Κ**αθὼς ἡ παιδικὴ σφαίρα, πληττομένη τῇ χειρί, καὶ πίπτουσα κατὰ γῆς, πάλιν ἀνίσταται, οὕτως ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἡ πτῶσις τῶν ἀγαθῶν ἀνδρῶν ἀσταθὴς ἐστίν (1).

85. Τὸ μὲν δένδρον, καὶ κοπτόμενον, πάλιν ἀναφύει καὶ ἀναβλαστάνει· ἡ δὲ Σελήνη, καὶ φθίνουσα, πάλιν πληροῦται· ταῦτα ἀναλογιζόμενοι οἱ ἀγαθοί, οὐδέποτε θλίβονται, δεινοῦ ἐπιπεσόντος.

86. **Ἡ** ἀμέλεια καὶ ἀργία ἐχθρός ἐστι μέγας τοῖς ἀνθρώποις· οὐκ ἔστι δὲ φίλος τοιοῦτος, ὡς ἡ φιλεργία καὶ φιλοπονία· ὁ γὰρ φίλεργος καὶ φιλόπονος οὐδέποτε κακῶς ἔχει.

87. Οἱ ἔννομοι καὶ δίκαιοι οὐδέποτε τιθέασι τὸν πόδα ἔξω τῆς εὐθείας ὁδοῦ, μηδαμῶς φροντίζοντες, εἴτε οἱ πολιτικοὶ ἐπαινοῖεν, ἢ κατηγοροῖεν, εἴτε ἡ Λαξμὴ (2) ἀπέλθοι, ἢ ἔλθοι, εἴτε σήμερον εἴη θάνατος, εἴτε μετὰ ἕνα αἰῶνα (3).

---

(1) Ἂν πέσωσι, τουτέστι δυστυχήσωσι, πάλιν ἀνίστανται, τουτέστι εὐτυχοῦσι.

(2) Λαξμή, ἡ θεὰ Εὐδαιμονία, θυγάτηρ τοῦ Ὠκεανοῦ, καὶ παράκοιτις τοῦ Βισνοῦ· λέγεται δὲ μεταφορικῶς καὶ ὁ ὄλβος καὶ ἡ δόξα.

(3) Παραβλέπουσι τὸ δίκαιον καὶ τὸ ἀληθὲς καὶ οἱ καλοὶ ἐνίοτε ἄνθρωποι, πολιτικῷ καὶ οἰκονομικῷ τῷ τρόπῳ· οἱ δὲ δίκαιοι καὶ ἔννομοι ἄνδρες οὐδέποτε, μηδαμῶς φροντίζοντες εἴ τι καὶ ἂν γένοιτο.

88. Μῦς, ποιήσας τρύπαν νύκτωρ ἐν κιβωτίῳ, ἔνθα ἦν ὄφις κεκλεισμένος, καὶ ἀτονῶν τὸ σῶμα, καὶ ἀναισθητῶν ἐκ πείνης, ἔπεσεν εἰς τὸ στόμα αὐτοῦ τοῦ Ὄφεως, ὃς φαγὼν τὸν μῦν, καὶ ἀναλαβὼν, ἐξῆλθεν εὐθέως δι' ἐκείνης τῆς ὀπῆς. Ἴδετε, ἄνθρωποι, ὡς ἡ τύχη αἰτία ἐστὶ τῆς ζωῆς καὶ τοῦ θανάτου.

89. Ὁ Ἴνδρας, ᾧ ὁ μὲν Βριχασπατὴς (1) ἐστι βουλευτὴς, ὁ δὲ κεραυνὸς ὅπλον, οἱ δὲ Θεοὶ ὁ στρατοὶ, δ' οὐρανὸς φρούριον, ὁ δὲ Βισνοῦς ἀντιλήπτωρ, ὁ δὲ Αἰραβάτας (2) ὄχημα, οὗτος ὁ Ἴνδρας, καί περ τοσαύτην θαυμαστὴν δύναμιν ἔχων, ἐνικήθη ἐν μάχῃ ὑπὸ τῶν ἰσχυρῶν Γιγάντων· ἐκ δὲ τούτου δεικνύεται, ὡς ἡ Εἱμαρμένη πρόβλημά ἐστιν ἄριστον καὶ σωτήριον, καὶ οὐχὶ ἡ ματαία δύναμις καὶ ἀνδρία (3).

90. Οὐχὶ μόνον τὰ ἀγαθὰ ἢ κακὰ ὑπεξούσιά ἐστι τῇ Εἱμαρμένῃ, ἀλλὰ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου ἐπακολουθεῖ τῇ Εἱμαρμένῃ (4)· ἀλλὰ καὶ οὕτω, δεῖ τῷ εὔφρονι ποιεῖν μετὰ σκέψεως, ὅ,τι μέλλει ποιήσειν.

91. Ὡς ἐπὶ τὸ πλεῖστον ἔνθα πορεύεται ὁ ἀτυχὴς

---

(1) Βριχασπατὴς, ὁ διδάσκαλος καὶ ἱερουργὸς καὶ βουλευτὴς τῶν Θεῶν.

(2) Αἰραβάτας, ὄνομα ἐλέφαντος λευκοῦ, ὃς ἀνεδύθη ἐκ τοῦ Ὠκεανοῦ ὅτε περιεδινήθη ὑπὸ τῶν Θεῶν.

(3) Πολλάκις ἐπολέμησαν ἀλλήλοις οἵ τε Θεοὶ καὶ Γίγαντες περὶ τῆς τοῦ Οὐρανοῦ δεσποτείας· ὑπερίσχυσαν δὲ νικήσαντες οἱ Γίγαντες· ὁ δὲ ποιητὴς τῇ Εἱμαρμένῃ ἀποδίδωσι τὴν ἧτταν τοῦ Ἴνδρα, ὅς ἐστι πρωτοστάτης τῶν Θεῶν, οὐ μόνον ἐν θοίνῃ, ἀλλὰ καὶ ἐν μάχῃ.

(4) Δηλονότι, οὐ μόνον τὰ ἀγαθὰ ἢ τὰ κακὰ γίνονται, ὡς ἔστιν εἱμαρμένον, ἀλλὰ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου καλῶς καὶ ὀρθῶς, ἢ κακῶς καὶ ἀντεστραμμένως ἐννοεῖ, ὡς ἔστιν εἱμαρμένον.

ἐκεῖ ἀγγεῖον γίνεται ἀτυχιῶν· φέρ' εἰπεῖν, φαλακρός τις, θερμαινόμενος τὴν κεφαλὴν ταῖς ἀκτῖσι τοῦ ἡλίου, καὶ ἐπιθυμῶν τόπου ἀνηλίου, ἀφίκετο ἐκ τύχης εἰς τὴν ῥίζαν δένδρου Τάλα (1)· ἀλλὰ καὶ ἐκεῖ ἡ κεφαλὴ αὐτοῦ κατεάγη ἐκ τοῦ πεσόντος καρποῦ τοῦ δένδρου Τάλα.

92. Σκεπτόμενος τὸν δεσμὸν τῶν ἐλεφάντων καὶ τῶν Δρακόντων, καὶ τὴν θλίψιν τοῦ ἡλίου καὶ τῆς σελήνης ἐκ τοῦ Ῥαχοῦ (2), καὶ τὴν ἔνδειαν τῶν νουνεχῶν, δοξάζω, ὡς ἡ Εἱμαρμένη κατὰ πάντων ἔχει τὸ κράτος.

93. Εἰ καὶ ἡ Εἱμαρμένη ποιεῖ τὸν ἄνθρωπον θησαυρὸν πασῶν τῶν ἀρετῶν, καὶ κόσμημα τῆς γῆς, ἀλλὰ βραχυτελῆ καὶ ἐφήμερον ποιεῖ αὐτόν. Φεῦ τοῦ δεινοῦ! φεῦ τῆς ἀμαθείας τῆς Εἱμαρμένης!

94. Εἰ φύλλα οὐ γίνονται τῷ δένδρῳ Καρήρᾳ (3), ὁποῖον ἔγκλημα τῷ ἔαρι; εἰ ἡ γλαὺξ οὐ βλέπει ἐν ἡμέρᾳ, ὁποῖον ἔγκλημα τῷ ἡλίῳ; εἰ σταγόνες ὕδατος οὐ πίπτουσιν εἰς τὸ στόμα τοῦ Σατάκα (4), ὁποῖον ἔγκλημα τῷ βρέχοντι νέφει; ὅ,τι ἐχαράχθη πρότερον ὑπὸ τῆς Εἱμαρμένης ἐν τῷ μετώπῳ ἑκάστου, τίς δύναται τοῦτο ἐξαλεῖψαι (5);

95. Βυθισθήτω εἰς τὸ πέλαγος ὁ ἀτυχής· ἀναβήτω

---

(1) Τάλα, δένδρον ὑψηλὸν ὡς φοίνιξ, οὗ ὁ καρπός ἐστι σκληρὸς καὶ μέγας, ὡς πέπων.

(2) Θλίψις ἐνταῦθα τοῦ ἡλίου καὶ τῆς σελήνης ἐννοεῖται ἡ ἔκλειψις, ἣ γίνεται, ὡς μυθολογοῦσιν, ὑπὸ τοῦ δαίμονος Ῥαχοῦ, ὃς ἐφορμᾷ εἰς τὸ καταπιεῖν αὐτοὺς τοὺς φωστῆρας.

(3) Καρήρα, δένδρον ἄφυλλον ὅτε τὰ λοιπὰ δένδρα φυλλοφοροῦσιν ἐν ἔαρι· μετέπειτα δὲ ὀλίγα φέρει καὶ ἀραιά.

(4) Σατάκα ὄρνεον, ὃ ζῇ πίνον ὕδωρ ὑέτιον, ὡς προείρηται.

(5) Ἰστέον, ὡς πολλαί εἰσι δόξαι ἐπὶ τούτου τῶν φιλοσόφων Ἰνδῶν.

εἰς τὴν κορυφὴν τῆς Μερόης· νικησάτω τοὺς ἐχθροὺς ἐν πολέμῳ· μαθέτω πᾶσαν μάθησιν καὶ τέχνην ἐμπορίας καὶ γεωργίας καὶ τῆς πρὸς τοὺς κρείττονας θεραπείας· πετασθήτω εἰς τὸν αἰθέρα, ὡς ὄρνις· ποιησάτω τρόπους μεγάλους· τὸ μὴ γενησόμενον οὐ γίνεται, καὶ τὸ γενησόμενον ἐξ ἅπαντος γίνεται.

96. Προσκυνήσωμεν τοὺς θεούς; ἀλλὰ καὶ αὐτοὶ διδόασιν ὡς ἔστιν εἱμαρμένον· προσκυνήσωμεν τὴν Εἱμαρμένην; ἀλλὰ καὶ αὐτὴ δίδωσι κατὰ τὰ πεπραγμένα ἔργα ἑκάστου· τί γίνεται ἐκ θεῶν ἢ ἐκ τύχης, ὅτε τὸ ἀγαθὸν ἢ τὸ κακὸν γίνεται ἐκ τῶν προπεπραγμένων ἔργων; ταῦτ᾽ ἄρα αὐτὰ τὰ ἔργα προσκυνήσωμεν, ὧν καὶ αὐτὴ ἡ Τύχη οὐκ ἔστι κρείττων (1).

97. Προσκύνησις τῷ ἔργῳ, ἐξ οὗ ὁ μὲν Βραχμᾶς διετάχθη ἐν τῇ κοσμογονίᾳ, ὡς πηλουργὸς καὶ κεραμεύς· ὁ δὲ Βισνοῦς ἐῤῥίφθη εἰς δέκα ἐπιπόνους ἐνσαρκώσεις (2)· ὁ δὲ Σίβας περιπλανᾶται εἰς τὸ ἐπαιτεῖν (3),

---

(1) Ἄλλοι μὲν δοξάζουσιν, ὡς ὁ Θεὸς δίδωσιν ἀγαθὰ ἢ κακὰ ἃ ἀπολαμβάνει ὁ ἄνθρωπος ἐν τούτῳ τῷ κόσμῳ· ἄλλοι δὲ ὡς οἱ θεοὶ δίδωσι κατὰ τὸ εἱμαρμένον· ἄλλοι δὲ ὡς ἡ Εἱμαρμένη δίδωσιν· ἄλλοι δὲ δοξάζουσιν ὡς τὰ πεπραγμένα ἔργα ἐν τῇ προτέρᾳ γεννήσει αἴτιά ἐστι τῶν ἀγαθῶν ἢ κακῶν.

(2) Δοξάζουσιν ὡς δεκάκις ἐσαρκώθη ὁ Βισνοῦς, ἐν διαφόροις ὀνόμασι καὶ μορφώμασιν.

(3) Ὁ Θεὸς Σίβας γράφεται γυμνὸς, ὡς ἐπαίτης καὶ ἀσκητὴς, ἔχων μόνον μίαν λεοντῆν εἰς σκέπην τῶν αἰδοίων, καὶ ὄφεις περὶ τὸν λαιμὸν, καὶ κρανίον ἀνθρώπειον ἐν χειρὶ, ὡς τρυβλίον. Καὶ ἡ μὲν λεοντῆ σύμβολόν ἐστι τῆς ἐν ὄρεσι διαγωγῆς αὐτοῦ· τὸ δ᾽ ἀνθρώπειον κρανίον, σύμβολον τοῦ θανάτου πάντων, οὗ αὐτός ἐστι παραίτιος· οἱ δ᾽ ὄφεις, σύμβολον τῆς ἀθανασίας. Ἔνιοι τῶν μοναστῶν καὶ ἀσκητῶν, οἳ μιμοῦνται τὴν δια-

ἔχων ἐν τῇ παλάμῃ κρανίον ἀνθρώπειον· ὁ δ' ἥλιος (1) περιφέρεται εἰς τὸν αἰθέρα (2).

98. Οὔτε τὸ καλὸν εἶδος, οὔτε τὸ λαμπρὸν γένος, οὔτε ἡ μάθησις, οὔτε ἡ πρὸς τοὺς κρείττονας σπουδαία θεραπεία ἀγαθὰ διδόασιν, ἀλλὰ τὰ προπεπραγμένα ἐπιμελῶς ἀγαθὰ ἔργα, καθὼς τὰ δένδρα, ἐπιμελείας ἀξιούμενα, καρπὸν ἐν καιρῷ διδόασιν.

99. Τὰ προπεπραγμένα ἀγαθὰ ἔργα διατηροῦσι τὸν ἀφροντιστοῦντα, καὶ ὄντα ἐν δεινοῖς, οἷον, ἐν ἐρήμῳ, ἐν πολέμῳ, ἐν πλήθει ἐχθρῶν, ἐν πυρί, ἐν μεγάλῳ πελάγει, καὶ ἐν δυςβάτῳ ὄρει.

100. Ὦ ἀγαθέ, εἰ βούλει παντὸς ἐφετοῦ ἀπολαῦσαι, μὴ ἔχε πεποίθησιν εἰς πολλὰς ἀνωφελεῖς ἀρετάς, ἃς ἔχεις ἐκ μελέτης καὶ γυμνάσεως, ἀλλὰ πράττε ἐκεῖνα τὰ ἀγαθὰ και θεῖα ἔργα, ἃ τοὺς μὲν κακοὺς ποιεῖ ἀγαθοὺς ἐν ἀκαρεῖ, τοὺς δὲ βαρβάρους σοφούς, τοὺς δ' ἐχθροὺς φίλους, τὸ δ' ἀφανὲς ἐμφανές, τὸ δὲ φάρμακον νέκταρ.

101. Ὦ τινι τῶν ἀνθρώπων προπεπραγμένη ἐστὶ μεγάλη ἀγαθοεργία, τούτῳ ἡ μὲν φοβερὰ ἔρημος, ὥσπερ εὐδαίμων ἐστὶ πόλις, οἱ δ' ἄνθρωποι πάντες εὐμένειαν δεικνύουσι, πᾶσα δ' ἡ γῆ ἔμπλεώς ἐστι πολυτίμων πραγμάτων (3).

γωγὴν καὶ δίαιταν τοῦ Σίβα, ἀπὸ κρανίου ἀνθρωπείου ἐσθίουσι καὶ πίνουσι, καὶ ὁρμαθὸν κρανίων φέρουσι κρεμάμενον ἀπὸ τοῦ τραχήλου ἐπὶ τοῦ στήθους.

(1) Ὁ Ἥλιος προῦπτος θεὸς λέγεται καὶ προσκυνεῖται ὑπὸ πάντων καθ' ἑκάστην, ἐξαιρέτως δ', ὅταν ἀνατέλλῃ.

(2) Πλάττει ἐνταῦθα ὁ ποιητής, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ ἐκ τῶν ἔργων ὧν ἔπραξαν πάσχουσιν· ἐκ δὲ τούτου ἀποδεικνύει τὴν δύναμιν τοῦ ἔργου.

(3) Ὅπου ἂν σκάπτῃ δηλ. πολυτίμους λίθους εὑρίσκει.

102. Ὦ τινι ἐστὶ καλοκἀγαθία, ἡ οὖσα ἀγαπητὴ παντὶ τῷ κόσμῳ, τούτου ἔμπροσθεν τὸ μὲν πῦρ γίνεται παραχρῆμα ὕδωρ, ὁ δ' Ὠκεανὸς, ὡς μικρὸς ποταμὸς, ἡ δὲ Μερόη ὡς μικρὸν ὄρος, ὁ δὲ λέων ὡς ἐλέφας, ὁ δ' ὄφις ὡς ἄνθινος ςέφανος, τὸ δὲ φάρμακον ὡς νέκταρ (1).

103. Ὁ φρόνιμος, ὁ βουλόμενός τι ποιῆσαι, ἤτοι ἀγαθὸν, ἢ κακὸν, σκεπτέσθω ἀκριβῶς πρότερον τὸ τέλος· τὸ γὰρ τέλος τῶν ἀπερισκέπτως γινομένων ἔργων, ὥςπερ ἧλος καυστικός ἐστι τῆς καρδίας μέχρι θανάτου.

104. Καθὼς ἀτυχὴς καὶ ἀνόητός ἐστιν, ὅςτις τὸ μὲν ἐναπολειφθὲν τοῦ πιεσθέντος σησάμου ἕψει εὐώδεσι ξύλοις ἐκ Σανδάνου ἐν χύτρᾳ ἀδαμαντίνῃ, τὴν δὲ γῆν σκαλίζει χρυσῷ σκαλιστηρίῳ εἰς τὸ ἐξαγαγεῖν τὴν ῥίζαν τοῦ φυτοῦ Μανδάρα (2), τὸν δὲ φραγμὸν τοῦ ἐσπαρμένου Κοδράβα (3) ποιεῖ ἐκ Καφούρας, οὕτως ἀτυχής ἐστι καὶ ἀνόητος, ὅςτις, τυχὼν ταύτης τῆς γῆς τῆς ἀρετῆς, οὐ ποιεῖ ἀγαθὰ ἔργα (4).

105. Τί μέγα κέρδος; ἡ τῶν σοφῶν καὶ ἐμφρόνων ὁμιλία· τί μέγα ἄλγος; ἡ τῶν ἀφρόνων καὶ βαρβάρων ἔντευξις· τίς μεγάλη ζημία; τὸ μὴ ποιεῖν τὰ δέοντα ἐν καιρῷ· τίς φρόνησις; ἡ εἰς τὰ νόμιμα κλίσις· τίς ἥρως; ὁ νικητὴς τῶν αἰσθήσεων· τίς γυνή; ἡ φίλανδρος καὶ

(1) Οὐδεὶς δηλ. εἰ καὶ κακότροπός ἐστι, βλάπτει τὸν τοιοῦτον καλοκἄγαθον· καὶ τὰ δυςχερέστατα εὐχερέστατα τῷ τοιούτῳ γίνονται.

(2) Μανδάρα, φυτὸν εὐτελές.

(3) Κοδράβα, εἶδος εὐτελοῦς ὀσπρίου.

(4) Αὕτη ἡ γῆ, γῆ τῆς ἀρετῆς λέγεται· ἐν ταύτῃ γὰρ τῇ γῇ, ἀγαθὰ ἔργα πράττων ὁ ἄνθρωπος, τυγχάνει τοῦ οὐρανοῦ· ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστι μετάνοια.

σώφρων· τίς ὄλβος; ἡ μάθησις· τίς ἄνεσις; τὸ μὴ περιφέρεσθαι εἰς ξένην γῆν· τίς βασιλεία; ἡ εἰς τὴν βασιλικὴν ἐπιταγὴν ὑποταγή.

106. Ἔστιν ὅπου ἡ γῆ κεκοσμημένη ἐστὶν ὑπὸ τῶν μὴ δυςφημούντων, ἀλλ' εὐφημούντων, ὑπὸ τῶν ἀρεσκομένων ταῖς ἑαυτῶν γυναιξὶ, καὶ ὑπὸ τῶν ἀπεχόντων τῆς κατ' ἄλλων κατηγορίας;

107. Οὐχ οἷόν τέ ἐστιν ἐξαλειφθῆναι τὴν φυσικὴν καρτερίαν τοῦ καρτερικοῦ, καί περ κακοπαθοῦντος, καθὼς ἡ φλὸξ τοῦ ἐμπύρου δαυλοῦ, καί περ ἀντιστρόφου γενομένου, οὐδέποτε κλίνει πρὸς τὰ κάτω.

108. Ἐκεῖνός ἐστι καρτερικὸς, καὶ νικᾷ πάντα τοῦτον τὸν κόσμον, οὗ τινος τὴν καρδίαν οὐ φλέγει, οὔτε τὰ βάλλοντα, ὡς βέλη, βλέμματα ἐρωτικῶν γυναικῶν, οὔτε ἡ μετάνοια ἡ μετὰ τὸν θυμὸν γινομένη, οὔτε ἅπασαι οἱ τρυφαὶ ἕλκουσι τῷ ἐπιθυμητικῷ μέρει τῆς ψυχῆς, ὡς σχοινίῳ (1).

---

(1) Οὔτε δηλονότι τῷ ἔρωτι ὑπόκειται, οὔτε τῷ θυμῷ, οὔτε τοῖς ὑπὸ τὴν αἴσθησιν τερπνοῖς.

ΒΑΤΡΙΧΑΡΗ ΒΑΣΙΛΕΩΣ

ΥΠΟΘΗΚΑΙ,

Η

ΠΕΡΙ ΜΑΤΑΙΟΤΗΤΟΣ ΤΩΝ ΤΟΥ ΚΟΣΜΟΥ.

3

ΒΑΤΡΙΧΑΡΗ ΒΑΣΙΛΕΩΣ

ΥΠΟΘΗΚΑΙ,

Ἤ

ΠΕΡΙ ΜΑΤΑΙΟΤΗΤΟΣ ΤΩΝ ΤΟΥ ΚΟΣΜΟΥ.

1. Ὁ Σίβας, ὅς ἐστιν ὁ λύχνος τῆς γνώσεως, κεῖται, ὡς ἐν οἴκῳ, ἐν τῇ καρδίᾳ τῶν θεωρητικῶν, καὶ ἀναλάμπει τῇ ἀγαθότητι, ὡς ὁ λύχνος τῇ θρυαλλίδι, καὶ λαμπρὰν ἔχει τὴν ἐν τῇ κορυφῇ κεραὴν Σελήνην (1), ὡς ὁ λύχνος τὴν ἀναδιδομένην φλόγα, καὶ κατακαίει τὸν ἔρωτα (2), ὡς ὁ λύχνος τὴν πυραλλίδα, καὶ διασκεδά-

(1) Ὁ θεὸς Σίβας γράφεται φέρων τὸ ἡμισέληνον ἐπὶ τοῦ βρέγματος, ὅ ἐστι σύμβολον τῆς ἱλαρότητος.

(2) Ὁ θεὸς Ἔρως, ὃς λέγεται Κάμας Ἰνδιστὶ, ὁ κατισχύων πάντων καὶ θεῶν καὶ ἀνθρώπων, ἠθέλησε πειραθῆναι τῆς ἑαυτοῦ δυνάμεως καὶ κατὰ τοῦ θεοῦ Σίβα. Καί ποτε ὄντος τοῦ Σίβα ἐν θεωρίᾳ, ὁ Ἔρως ἐτόξευσεν αὐτοῦ τὴν καρδίαν ἀνθίνῳ βέλει· ὁ γὰρ Ἰνδικὸς Ἔρως οὐκ ἔχει βέλος σιδηροῦν ὡς ὁ Ἑλληνικὸς, ἀλλ' ἄνθινον· καὶ τὸ τόξον δ' αὐτοῦ ἐξ ἀνθέων ἐστὶ καὶ ἡ χορδή. Ὁ δὲ Σίβας αἰσθόμενος ἐν καρδίᾳ ἐρωτικοῦ γαργαλισμοῦ, ἠνέωξε τοὺς ὀφθαλμούς, οὓς εἶχεν ὑποκεκλεισμένους ἐν θεωρίᾳ, καὶ σκοπήσας τὸν Ἔρωτα ἐν κλάδοις καὶ ἄνθεσι δένδρου, ἠνέωξε καὶ τὸν ἐπὶ τοῦ μετώπου ὀφθαλμὸν, ὅς ἐστι πύρινος, καὶ κατεπυρπόλησε τὸν Ἔρωτα· ὁ γὰρ Σίβας τριόφθαλμός ἐστι. Διὰ τοῦ πυρίνου ὀφθαλμοῦ αἰνίττεται τὴν ἣν ἔχει φθαρτικὴν δύναμιν ὁ Σίβας, ὡς τρίτον πρόσωπον τῆς θείας Τριάδος· πρός δὲ δοξάζουσιν ὡς ἐκ τοῦ πυρὸς τοῦ πυρίνου τούτου ὀφθαλμοῦ ἀποτεφροῦται πάντα τὰ τοῦ αἰῶνος ἐν τάχει· ἡ γὰρ παγκόσμιος

ζει τὴν τοῦ νοὸς μεγάλην ἄγνοιαν, ὡς ὁ λύχνος τὸ τοῦ οἴκου βαθὺ σκότος.

2. Οἱ μὲν ἐλλόγιμοι φθονεροί εἰσιν· οἱ δὲ ἔνδοξοι ὑπερήφανοι· οἱ δὲ λοιποὶ ἄνοες· διὰ τοῦτο ὁ ἐμὸς παραινετικὸς λόγος κεῖται ἐν τῇ ἐμῇ καρδίᾳ, ὡς σεσηπώς. (1).

3. Ἐγὼ οὐ βλέπω ἀγαθὸν καὶ ὠφέλιμον πᾶν ἔργον, ἐν κόσμῳ γινόμενον· καὶ τῶν ἀγαθῶν γὰρ ἔργων τὸ τέλος φόβον μοι δίδωσι, σκεπτομένῳ· καὶ αἱ ἐν οὐρανῷ γὰρ μεγάλαι τρυφαὶ, αἱ ἐξ αἰτίας τῶν ἀγαθῶν ἔργων γινόμεναι, γίνονται εἰς τὸ δοῦναι τελευταῖον ἄλγος τοῖς τρυφῶσιν (2).

φθορὰ ἐνίοτε μὲν γίνεται ἐκ κατακλυσμοῦ, ἐνίοτε δ' ἐξ ἐμπρησμοῦ. Οὐ μόνον δ' ἡ φθορὰ τοῦ παντὸς, ἀλλὰ καὶ ἡ γένεσις πολυειδής ἐστι, κατὰ τὰς πολυειδεῖς δόξας τῶν Ἰνδῶν. Σημείωσαι, ὅτι μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου εὑρέθη ἓν ἄγαλμα τριόφθαλμον, κατὰ τὸν Παυσανίαν.

(1) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· Οὐδεὶς ἀγγεῖόν ἐστι δεκτικὸν τοῦ ἐμοῦ παραινετικοῦ λόγου· διὰ τοῦτο καὶ μένει ἐντὸς τῆς ἐμῆς καρδίας ἄχρηστος, ὡς ὁ σπόρος, ὃς σήπεται ἐντὸς τῆς γῆς, μὴ ἀναδιδόμενος.

(2) Ταῦτά ἐστιν εἰς ἀντίῤῥησιν ἐκείνων, οἳ δοξάζουσιν ὡς ἄκρον ἀγαθόν ἐστιν, ἡ ἀπόλαυσις τῶν οὐρανίων ἀγαθῶν, ἃ γίνονται ἐξ αἰτίας τῶν ἀγαθῶν ἔργων, ὧν ἔπραξεν ὁ ἄνθρωπος. Ἰστέον, ὡς ἄλλοι μὲν δοξάζουσι κρείττονα τὴν πρακτικὴν ἀρετὴν, ἄλλοι δὲ τὴν θεωρητικήν· οἱ δὲ προτιμῶντες τὴν θεωρητικὴν, οἷς συμφωνεῖ καὶ συνᾴδει καὶ οὗτος ὁ ποιητὴς, προτείνουσι συλλογιστικῶς, ὡς καὶ οἱ ἀγαθὰ ἐν γῇ πράξαντες εἰς ἀπόλαυσιν τῶν οὐρανίων ἀγαθῶν, πάλιν κατέρχονται εἰς γῆν, ἔνθα πάλιν πάθη καὶ δεινὰ, ἀφ' οὗ τρυφήσωσιν ἐν οὐρανῷ εἰς ὡρισμένον χρόνον, κατ' ἀναλογίαν τῶν ἀγαθῶν ἔργων ὧν ἔπραξαν. Κακὸν ἄρα τὸ ἐκ τῆς πρακτικῆς ἀρετῆς, ἀγαθὸν δὲ ἡ πρὸς θεὸν θεωρία καὶ ἀπάθεια, ὧν ἕνεκα οὐ κατέρχεται εἰς γῆν ἡ ψυχὴ, ἀλλὰ σύνεστιν ἀϊδίως τῷ Θεῷ· τοῦτο δέ ἐστι παρ' αὐτοῖς ἄκρον ἀγαθόν.

4. Εἰς πολλοὺς τόπους ἐπλανήθην δυςβάτους καὶ δυςκόλους· ἀλλ' οὐδὲν κέρδος εὗρον· ἀφεὶς τὸ μέγα φρόνημα τῆς ἐμαυτοῦ φυλῆς καὶ γενεᾶς, δουλείαν ἐποιησάμην ἀνωφελῆ· ἔφαγον ἐν ἀλλοτρίῳ οἴκῳ ἀτίμως καὶ ὑπόπτως (1), ὡς ὁ κολοιός (2)· σὺ δέ, ὦ κακὴ ἀπληστία, πάλιν χαίνεις καὶ κόρον οὐκ ἔχεις;

5. Γῆν ἀνέσκαψα, ἐλπίζων θησαυρόν· μέταλλα ἐχώνευσα εἰς τὸ μετατρέψαι εἰς χρυσόν· ὠκεανὸν ἔπλευσα· παντοίαν θεραπείαν καὶ κολακείαν ἐποίησα πρὸς ἡγεμόνας καὶ ἐνδόξους· νύκτας ὅλας διετέλεσα ἀγρυπνῶν ἐν νεκρικοῖς τόποις (3), μελετῶν ἐπῳδὰς ἐκ καρδίας· ἀλλ' οὐδέ γε παλαιὸν κοχλίδιον (4) εὕρηκα· ἄφες με νῦν, ὦ ἀπληστία!

6. Ἠνειχόμην ὕβρεων φαύλων δεσποτῶν, φαινόμενός πως ἀγαθὸς καὶ πιστὸς θεράπων, καὶ κρατῶν ἐντὸς τὰ δάκρυα, ἐγέλων ἔξωθεν πλαστῶς· ἑδραίαν ἐποίουν τὴν ἐμαυτοῦ καρδίαν καὶ ἱστάμην εὐλαβῶς ἔμπροσθεν ἐμπλήκτων πλουσίων· ὦ ἐλπὶς ματαία, τί ἄλλο γελοιωδέστερον παῖξαι μετ' ἐμοῦ θέλεις;

---

(1) Πολλοὶ πτωχοὶ Βραχμᾶνες πορεύονται ἐν καιρῷ ἀρίστου ἄκλητοι εἰς τοὺς οἴκους τῶν καλεσάντων ἄλλους εἰς ἑστίασιν, καὶ βιαζόμενοι, ἑστιῶνται καὶ αὐτοί.

(2) Οἱ κολοιοὶ ἐν Ἰνδίᾳ τολμηροί εἰσι καὶ ἁρπακτικοί, ὡς ἰκτῖνες.

(3) Ἐν νεκρικοῖς τόποις νεκυομαντίᾳ νύκτωρ χρῶνται, ὥστε τυχεῖν πλούτου ἢ ἄλλου τινὸς ἀγαθοῦ, οὗ ἐφίενται· πολλὰς δὲ νύκτας διανύουσιν ἐν ἀγρυπνίᾳ καὶ πολλῇ κακοπαθίᾳ, ἄλουτοι καὶ ἄσιτοι διαμένοντες.

(4) Τὰ κοχλίδια ἐν Ἰνδίᾳ εἰς χρῆσίν ἐστιν ἐν ἀνταλλαγῇ, ὡς τὰ εὐτελῆ χαλκᾶ νομίσματα ἐν ἄλλοις τόποις. Ὀγδοήκοντα κοχλίδια ἀνταλλάσσονται ἀνθ' ἑνὸς ὀβολοῦ· διά τοι τοῦτο, ὅπερ λέγεται παροιμιακῶς παρ' Ἕλλησιν, «ἄνθρακες ὁ θησαυρὸς,» τοῦτο παρ' Ἰνδοῖς «κοχλίδια ὁ θησαυρός.»

7. Τί οὐκ ἐπράχθη ἡμῖν τοῖς ἀδιακρίτοις διὰ ταύτην τὴν ἄστατον καὶ πρόσκαιρον ζωήν; ἔμπροσθεν ἀσυνέτων καὶ ἀναισθήτων ἐκ μέθης τοῦ πλούτου, καὶ περιαυτολογίας (1) ἐποιήσαμεν, ὅ ἐστι μέγα ἁμάρτημα.

8. Εἰς μὲν ἄνεσιν τῆς ζωῆς οὐ κατηνάλωσα, αὐτὸς δὲ κατηναλώθην· τὰ μὲν πάθη οὐ κατεμάρανα, αὐτὸς δὲ κατεμαράνθην· ὁ μὲν χρόνος οὐ παρῆλθεν, αὐτὸς δὲ παρῆλθον· ἡ μὲν ἀπληστία οὐκ ἐγήρασεν, ἐγὼ δ' αὐτὸς ἐγήρασα.

9. Τὸ μὲν πρόσωπον πλῆρες ῥυτίδων· ἡ δὲ κεφαλὴ πολιά· τὰ δὲ μέλη παραλελυμένα· μόνη δὲ ἡ ἀπληστία νεάζει!

10. Ἡ μὲν ἔφεσις τῆς τρυφῆς ἐπαύσατο· τὸ δὲ φρόνημα ᾤχετο· οἱ δὲ συνήλικες καὶ σύμπνοες ἐτελεύτησαν· ἡ δὲ βάδισις τοῦ σώματος βραδεῖα καὶ ἐπὶ βακτηρίας· οἱ δ' ὀφθαλμοὶ λίαν ἀμβλεῖς· ἀλλὰ καὶ οὕτω, τὸ κακὸν σῶμα φοβεῖται τὸν θάνατον· βαβαί!

11. Ἡ μὲν ἐλπίς ἐστιν, ὡς ποταμός· ἡ δὲ ἐπιθυμία, ὡς ὕδωρ· ἡ δὲ πλεονεξία, ὡς πολυτάραχον κῦμα· ἡ δὲ προσπάθεια, ὡς κροκόδειλος· οἱ δὲ λογισμοί, ὡς φίλυδροι ὄρνεις· ἡ δὲ στέρησις τῆς καρτερίας, ὡς ἡ ἐκρίζωσις τοῦ παρὰ τῇ ὄχθῃ δένδρου· ἡ δ' ἄγνοια, ὡς δεινὴ δίνη· αἱ δὲ φροντίδες, ὡς ὑψηλαὶ ὄχθαι· τοῦτον τὸν ποταμὸν τῶν δεινῶν διαπεράσαντες οἱ θεωρητικοὶ καὶ ἀπαθεῖς, εὐφραίνονται (2).

---

(1) Τὸ περιαυτολογεῖν, τουτέστιν ἐπαινεῖν ἑαυτὸν, μέγα κρίνεται ἁμάρτημα· πολλοὶ γὰρ ἐπαινοῦσιν αὐτοὶ ἑαυτοὺς, ὅτι πεπαιδευμένοι μᾶλλόν εἰσι πάντων, ἵνα μᾶλλον ἀγαπηθῶσι.

(2) Καταβάλλοντες δηλ. αὐτὰ τὰ πάθη, εὐφραίνονται.

12. Εἰ ὁ ἄνθρωπος ἰδίᾳ θελήσει οὐκ ἐγκαταλείπει τὰ ὑπὸ τὴν αἴσθησιν τερπνὰ, αὐτὰ ἐξ ἀνάγκης ἐγκαταλείπουσιν, εἰ καὶ διὰ πολλοῦ παραμένουσι· τίς δὲ ἡ διαφορὰ τῆς διττῆς ταύτης ἐγκαταλείψεως; αὕτη· ἐγκαταλιπόντα μὲν αὐτὰ τὸν ἄνθρωπον, ἀνείκεστον ἄλγος διδόασι τῇ καρδίᾳ αὐτοῦ (1)· ἐγκαταλειφθέντα δὲ ὑπὸ τοῦ ἀνθρώπου, μέγα χάρμα παρέχουσι (2).

13. Δύςπρακτον ἔργον πράττουσιν, ὅσοι ἐγκαταλείπουσι τὸν ἐν χερσὶ πλοῦτον, ὅς ἐστιν ὄργανον τῶν τρυφῶν, κριτικοὶ ὄντες ἐκ θεογνωσίας, καὶ ἀνέραστοι τῶν τοῦ κόσμου παντάπασιν· ἡμεῖς δὲ οἱ τάλανες οὐ δυνάμεθα ἐγκαταλιπεῖν, οὐδὲ τὸν ἐν τῇ διανοίᾳ ἀναπλαττόμενον πλοῦτον, ὃς οὔτε πρότερον ἦν ἐν κτήσει, οὔτ' ἔστι νυνὶ, οὔτ' ἔσεται πώποτε.

14 Οἱ μὲν ὄρνεις πλησίον ἀφόβως ἱστάμενοι, πίνουσι τὰς σταγόνας τῶν ἐκ τῆς θείας χαρᾶς δακρύων τῶν μακαρίων ἀνδρῶν, τῶν ἐν σπηλαίοις τῶν ὀρέων οἰκούντων, καὶ θεωρούντων τὸ ὕψιστον καὶ θεῖον φῶς· ἡ δὲ ζωὴ ἡμῶν ματαίως καταναλίσκεται, τῶν ἀναπλαττόντων ἐν διανοίᾳ μετὰ χαρᾶς κήπους περικαλλεῖς, καὶ λίμνας ἡδείας (3), καὶ οἴκους ὑψηλοὺς, πράγματα ἀνύπαρκτα, ὧν ἡ καρδία ἐπιθυμεῖ.

15. Τὸ μὲν βρῶμά ἐστιν ἐξ αἰτήσεως, κἀκεῖνο ἀη-

(1) Ὅτε οὐ δύναται ἀπολαῦσαι αὐτῶν, ἀτονῶν τὰς αἰσθήσεις.

(2) Ὅτε δύναται ἀπολαῦσαι αὐτῶν, εὐτονῶν τὰς αἰσθήσεις.

(3) Πολλοὶ τῶν πλουσίων καὶ ἀρχόντων κατασκευάζουσι ἐν κήποις λίμνας ἡδείας, αἳ βαθμίδας ἔχουσιν ἐκ λίθων πέριξ εἰς κατάβασιν καὶ ἀνάβασιν.

δὲς, καὶ ἅπαξ τῆς ἡμέρας· ἡ δὲ γῆ, κλίνη· οὐδὲν δ' ἄλλο πάρεστιν, ἀλλ' ἢ μόνον τὸ σῶμα· τὸ δὲ περιβόλαιον, τριβώνιον, ἐκ ῥάκεων πολλῶν συνεῤῥαμμένον· ἀλλὰ καὶ οὕτως, οὐκ ἐγκαταλείπουσιν (ἄθλιοι!) τὰ τοῦ κόσμου (1).

16. Τὸ ἐπίψογον σῶμα τῶν γυναικῶν ἐπαινεῖται ἐν τοῖς ποιήμασι τῶν ποιητῶν· οἱ μὲν γὰρ μαζοὶ, οἱ ὄντες οἰδήματα ἐκ κρέατος, συγκρίνονται δύο χρυσοῖς λαγηνίοις· τὸ δὲ πρόσωπον, τὸ ὂν πλῆρες φλέγματος καὶ κορύζης καὶ λήμης, παραβάλλεται τῇ Σελήνῃ· ὁ δὲ μηρὸς, ὁ ὢν κατάβροχος ἐκ τοῦ ῥέοντος οὔρου, ὁμοιοῦται τῇ προβοσκίδι τοῦ ἐλέφαντος.

17. Ἡ μὲν πυραλλὶς, ἀγνοοῦσα τὸ ἐκ τοῦ καύματος ἄλγος, πίπτει εἰς τὴν φλόγα τοῦ καίοντος λύχνου· ὁ δὲ ἰχθὺς, μὴ γινώσκων καταβιβρώσκει τὸ ἐν ἀγκίστρῳ δέλεαρ. Ἡμεῖς δὲ, καὶ γινώσκοντες, οὐκ ἀφίεμεν τὰς ἡδονὰς, αἵ εἰσιν, ὡς πολύπλοκα δίκτυα τῶν δεινῶν· φεῦ τῆς ἡμετέρας μεγάλης παρανοίας!

18. Ὁ μὲν ἀσύνετος βλέπων, ὅτι ἔχει οἶκον μὲν ὑψηλὸν, υἱοὺς δὲ ἀξιοτίμους, πλοῦτον δὲ ἀριθμὸν ὑπερβαίνοντα, γυναῖκα δὲ καλὴν καὶ σεμνὴν, καὶ ἡλικίαν νέαν, νομίζει τὸν κόσμον ἄφθαρτον, καὶ μένει ἐν αὐτῷ, ὡς ἐν δεσμωτηρίῳ· ὁ δὲ συνετὸς ἀπολείπει ταῦτα πάντα, ὡς βραχυτελῆ καὶ ἐφήμερα.

19. Τίς φιλότιμος, φοβούμενος, μήπως ἡ δέησις

(1) Ἔνιοι τῶν Μοναστῶν, κυνικὴν ζωὴν ἔχουσι μὴ σιτοποιοῦντες αὐτοί. περιερχόμενοι δὲ ἀπὸ θύρας εἰς θύραν ἐν καιρῷ ἀρίστου, συλλέγουσι τὸ ἀρκοῦν βρῶμα, καὶ ἐσθίουσι καὶ κοιμῶνται ὅπου ἂν τύχῃ.

αὐτοῦ ἀποδοκιμασθῇ, λέγει πρός τινα ταπεινῇ καὶ κλαυθμηρᾷ φωνῇ χάριν τῆς τεθλιμμένης γαστρὸς, «Δός μοι,» εἰ καὶ βλέπει τὴν ἑαυτοῦ γυναῖκα βουλιμιῶσαν, καὶ ἑλκομένην ἐκ τοῦ ῥακώδους φορέματος ὑπὸ τῶν τέκνων αὐτῆς, στυγνὸν πρόσωπον ἐχόντων καὶ κλαιόντων;

20. Αὕτη ἡ γαστὴρ, ἥ ἐστιν ὡς σιτοθήκη δυσπλήρωτος, θλίψιν καὶ καταφρόνησιν δίδωσι τοῖς ἀνθρώποις· τὸ μὲν γὰρ μέγα φρόνημα, ὡς δεσμὸν, διαλύει, τὰς δὲ μεγάλας καὶ λαμπρὰς ἀρετὰς συστέλλει καὶ ἀμαυροῖ, ὡς ἡ σελήνη τοὺς ἡμερανθεῖς λωτούς· τὴν δ' αἰσχύνην ἐκκόπτει, ὡς ἡ ἀξίνη τὸν κλάδον.

21. Ἐκεῖνός ἐστι φιλότιμος, ὃς πείνῃ θλιβόμενος, ἔρχεται εἰς ἔρημον, ἢ εἰς ἅγιον πόλισμα, καὶ ἐν χειρὶ ἔχων πινάκιον, περιέρχεται ἀπὸ θύρας εἰς θύραν οἴκων Βραχμάνων, καὶ αἰτεῖ πρὸς πλήρωσιν τῆς γαστρὸς, ἥ ἐστιν, ὡς φάραγξ· οὐχὶ δ' ἐκεῖνος, ὃς περιέρχεται εἰς τὴν οἰκείαν πατρίδα, καὶ αἰτεῖ ταπεινῶς ἑκάστοτε παρὰ συγγενῶν καὶ γνωστῶν.

22. Μῶν ἠφανίσθησαν οἱ ἅγιοι τόποι Ἰμαοῦ τοῦ ὄρους, οἳ ψύχονται ταῖς ψεκάσι τῶν κυμάτων τοῦ Γάγγου, καὶ πλάκας ἔχουσιν ἐκ μαρμάρων λαμπρὰς, ἐφ' ὧν κάθηνται οἱ θεοὶ Βιδεαδδάραι (1), καὶ διὰ τοῦτο οἱ ἐν ταῖς πόλεσιν ἄποροι ἄνθρωποι φίλοι εἰσὶν ἀτίμου παρασιτίας;

23. Μῶν ἐξέλιπον αἱ ἐν ταῖς φάραγξι βρώσιμοι ῥίζαι (2); ἢ οἱ ἐξ ὄρους ῥέοντες πίδακες; ἢ οἱ κλάδοι

(1) Βιδεαδδάραι, εἶδος θεῶν ὑποδεεστέρων, οἳ αἰθεροπόλοι εἰσὶ καὶ ὀρεσίοικοι.

(2) Ἐν τῇ Ἰνδικῇ γῇ, καὶ μάλιστα ἐν Ἰμαῷ τῷ ὄρει, βρώσιμοι ῥί-

δένδρων, οἱ φέροντες καρποὺς ἡδεῖς εἰς βρῶσιν, καὶ φλοιοὺς εἰς ἱματισμόν; καὶ διὰ τοῦτο οἱ ἐν ταῖς πόλεσιν ἄποροι ἄνθρωποι μόλις βλέπουσιν ἀνθρώπων κακῶν καὶ ἀσπόνδων τὰ πρόσωπα, ὧν αἱ ὀφρύες ἀναπέπτανται τῷ ἀέρι τοῦ κόμπου, ὃν ἔχουσι διὰ τὸν ὀλίγον πλοῦτον, ὃν ἐκτήσαντο μετὰ πολλοῦ πόνου;

24. Ἄσπασε νυνὶ, φίλη ψυχὴ, ἐρασμίαν μὲν τροφὴν ἐκ βρωσίμων ῥιζῶν, εὐνὴν δὲ τὴν γῆν, ἐνδυμασίαν δὲ ἐκ φλοιῶν δένδρων (1) εὐπορίστων· ἄγε πορευθῶμεν εἰς ἔρημον, ἔνθα οὐδέ γε τὸ ὄνομα ἀκούεται οὐτιδανῶν καὶ ἀδιακρίτων πλουσίων καὶ ἀρχόντων, ὀνειδιστικοὺς λόγους λεγόντων ἐκ μέθης τοῦ πλούτου, ὥσπερ ἐκ πάθους παραφροσύνης.

25. Καίτοι ἐν παντὶ δάσει καρποί εἰσι δένδρων πρόχειροι, καὶ ἐν παντὶ μέρει ὕδωρ ψυχρὸν καὶ ἡδὺ ποταμῶν καθαρῶν, καὶ εὐνὴ ἁπαλὴ ἐξ ἁπαλῶν φύλλων, οἱ ἄποροι ὅμως ὑποφέρουσι κακοπάθειαν ἐν ταῖς θύραις τῶν πλουσίων.

26. Ἐγὼ καθήμενος ἐν σπηλαίῳ ἐπὶ πέτρας, ὡς ἐπὶ κλίνης, ἀναλογίζομαι σὺν πολλῷ γέλωτι μετὰ τὴν θεωρίαν ἐν τῷ τέλει τῆς ἡμέρας ἐκείνους, οἳ εὐποροῦσι κακοπαθοῦντες ἐκ τῆς πρὸς τοὺς πλουσίους θεραπείας, καὶ ἐκείνους, οἳ, μὴ βουλόμενοι θεραπεύειν τοὺς πλου-

---

ζαι εἰσὶν αὐτοφυεῖς, μεγάλαι καὶ στρογγύλαι, ὡς ὑδροπέπονες, καὶ ὡς πέπονες· ἡ δὲ τοιαύτη ῥίζα λέγεται Μουλαφάλα, ὅ ἐστι, Ῥιζόκαρπος. Μουλαφάλα, λέξις σύνθετος ἐκ Μούλα, ὅ ἐστι ῥίζα, καὶ Φάλα, ὅ ἐστι καρπός.

(1) Ἐκ φλοιῶν ἢ φύλλων δένδρων περιζώματα κατασκευάζουσι, συῤῥάπτοντες ἔνιοι τῶν ἐρημιτῶν καὶ ἀναχωρητῶν.

σίους, ἵνα μὴ ἀκούωσιν ὀνειδισμῶν, ἐν ἀπορίᾳ εἰσὶ καὶ κακοπαθείᾳ (1).

27. Οἱ ἀπαθεῖς (2) ἐπαινοῦσι τὸ ἐξ αἰτήσεως βρῶμα, ὅ ἐστι χρῆμα μέγα, ἀναφαίρετον, ἀποτρεπτικὸν τοῦ κινδύνου, ἀναιρετικὸν τοῦ φθόνου καὶ τῆς οἰήσεως, ἀφανιστικὸν τῶν δεινῶν, πρόχειρον, εὐπόριστον, ἐραστὸν τοῖς ἀγαθοῖς, ἁγνιστικὸν, δαψιλὴς τράπεζα τοῦ Θεοῦ, καὶ θησαυρὸς ἀκένωτος.

28. Ἐν μὲν τρυφῇ φόβος ἐστὶν ἐκ νοσήματος· ἐν δ' ὑψηλῷ οἴκῳ φόβος ἐκ πτώσεως· ἐν δὲ πλούτῳ φόβος ἐκ τυράννου· ἐν δὲ τιμῇ φόβος ἐξ ἀτιμίας· ἐν δὲ δυνάμει φόβος ἐξ ἀντιπάλου· ἐν δ' εὐμορφίᾳ φόβος ἐκ νέων θηλειῶν· ἐν δὲ λόγοις φόβος ἐξ ἑταίρου λογιωτέρου· ἐν δ' ἀρεταῖς φόβος ἐκ κακεντρεχῶν ἀνδρῶν· ἐν δὲ τῷ σώματι φόβος ἐστὶν ἐκ θανάτου· πᾶν τι πρᾶγμα ἐν κόσμῳ φόβῳ ὑπόκειται· μόνη δ' ἡ ἀπάθεια τῶν ἀνθρώπων ἄφοβος.

---

(1) Ἀμφοτέρων καταφρονεῖ, καὶ τῶν εὐπορούντων ἐκ δουλικοῦ ἔργου καὶ τῶν ἀπορούντων ἐκ μίσους τοιούτου ἔργου, καὶ συμβουλεύει αὐτοῖς τοιούτῳ τρόπῳ ἐγκαταλιπεῖν τοιαύτην κακοπάθειαν, καὶ ἀπελθεῖν εἰς ἔρημον πρὸς ἄνεσιν καὶ ἡσυχίαν.

(2) Τέσσαρές εἰσι γενικαὶ φυλαί· καὶ ἡ μὲν πρώτη ἐστὶν, οἱ Βραχμᾶνες τουτέστιν, οἱ ἱερεῖς καὶ ἐλλόγιμοι· ἡ δὲ δευτέρα, οἱ Ξατραὶ, τουτέστιν, οἱ βασιλεῖς, καὶ πολεμικοί· ἡ δὲ τρίτη, οἱ Βαϊσσέαι, τουτέστιν, οἱ γεωργοὶ, καὶ ἔμποροι· ἡ δὲ τετάρτη, οἱ Σοῦδραι, τουτέστιν, οἱ βάναυσοι, καὶ θῆτες. Τέσσαρές εἰσι καὶ αἱ τάξεις ἢ διαγωγαὶ, καὶ ἡ μὲν πρώτη ἐςὶν οἱ ἄγαμοι καὶ παρθένοι· ἡ δὲ δευτέρα οἱ ἔγγαμοι, οἱ ζῶσιν ἐν κόσμῳ· ἡ δὲ τρίτη οἱ ὑλόβιοι καὶ ἐρημῖται, οἱ ἀρνησάμενοι τὰ τοῦ κόσμου· ἡ δὲ τετάρτη, οἱ περιπλανώμενοι τὴν γῆν, μηδενὸς τῶν πρὸς τὸ ζῆν φροντίζοντες, μηδ' ὀψοποιοῦντες, ἀλλ' ἐσθίοντες ὅ,τι ἂν βρῶμα εὕρωσιν ἕτοιμον ἐξ αἰτήσεως.

29. Τί τῶν ἐν κόσμῳ οὐ καταναλίσκεται καὶ οὐ καταβάλλεται; ἡ μὲν γέννησις ὑπὸ τοῦ θανάτου· ἡ δ' ἀγλαὰ νεότης ὑπὸ τοῦ γήρατος· ἡ δ' αὐτάρκεια ὑπὸ τῆς πλεονεξίας· ἡ δ' ἄνεσις τῆς ψυχῆς ὑπὸ τῶν γυναικείων ἀκκισμάτων· αἱ δ' ἀρεταὶ ὑπὸ τῶν φθονερῶν ἀνθρώπων· ἡ δ' ἔρημος γῆ λυμαίνεται ὑπὸ τῶν ὄφεων καὶ θηρίων. οἱ δὲ βασιλεῖς ὑπὸ τῶν κακῶν βουλευτῶν· αἱ δ' εὐτυχίαι ὑπὸ τῆς ἀσταθείας.

30. Ἡ μὲν ὑγεία τοῦ ἀνθρώπου φθείρεται ὑπὸ πολυειδῶν παθῶν ψυχικῶν καὶ σωματικῶν· ἡ δὲ Λαξμὴ (1) ὅπου ἐστὶν, ἐκεῖ ἀτυχίαι εἰςδύουσιν, ἀκώλυτον τὴν εἴσοδον ἔχουσαι· πᾶν ὅ,τι γεννητὸν, τοῦτο ἀφεύκτως ὁ θάνατος ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν ποιεῖ· τί ἐστιν αὐτεξούσιον καὶ ἀπαθὲς, ὃ ἐποιήθη ὑπὸ τοῦ Βραχμᾶ;

31. Αἱ μὲν τρυφαί εἰσιν, ὡς τὰ ἄστατα ὑψηλὰ κύματα· ἡ δὲ ζωὴ, βραχυτελής· ἡ δὲ πρὸς πάντα τὰ ἔργα ὀξύτης τῆς γλυκείας νεότητος διαμένει ἐν ὀλίγαις ἡμέραις. Οἱ τοίνυν ἐχέφρονες, εἰδότες τοῦτον τὸν κόσμον ἄστατον, θεωρίαν ποιήτωσαν εἰς Θεὸν παντοίῳ τρόπῳ ἐκ καρδίας, εὐσπλαγχνίαν ἐχούσης πρὸς πάντα τὰ ἔμψυχα.

32. Αἱ μὲν ἡδοναὶ ἐν ἀκαρεῖ μένουσιν, ὡς αἱ ἐν ταῖς νέφεσιν ἀστραπαί· ἡ δὲ ζωὴ πρόσκαιρος, ὡς ἡ βροχὴ τῶν συνωθουμένων ὑπὸ σφοδροῦ ἀνέμου νεφῶν· αἱ δὲ ἐπιθυμίαι τῆς νεότητος ὀλιγοχρόνιοι· εἰδότες ταῦτα

---

(1) Λαξμὴ, ἡ θεὰ εὐδαιμονία, θυγάτηρ τοῦ Ὠκεανοῦ καὶ παράκοιτις τοῦ ὑπάτου τῶν θεῶν Βισνοῦ. Μεταφορικῶς δὲ καὶ ὁ ὄλβος καὶ ἡ δόξα καὶ ἡ ἀγλαΐα λέγεται.

πάντα, ὦ νουνεχεῖς, ψευδῆ καὶ μάταια, κλίσιν ἔχετε εἰς θεωρίαν τοῦ Θεοῦ, ἥ ἐστιν εὔκτητος διὰ τῆς ἐπιμόνου καρτερίας.

33. Ἡ μὲν ζωὴ βραχυτελής ἐστιν, ὡς τὸ μέγα κῦμα· ἡ δ' ἀγλαΐα τῆς νεότητος διαμένει ἐν ὀλίγαις ἡμέραις· ὁ δὲ πλοῦτος ἄστατος, ὡς ἡ διάνοια· αἱ δ' ἡδοναὶ πρόσκαιροι, ὡς αἱ ἀστραπαὶ ἐν ὥρᾳ τῶν ὄμβρων· ἀλλὰ καὶ ἡ περίπτυξις ὡραίων γυναικῶν ὀλιγοχρόνιός ἐστι· προσκολλήσατε οὖν τὸν νοῦν τῇ πρὸς τὸν Θεὸν θεωρίᾳ, ἵνα διαπλεύσητε ἀσφαλῶς τὸ φοβερὸν πέλαγος, τοῦτον τὸν κόσμον.

34. Τὸ μὲν βρέφος ἐν τῇ βρεφικῇ ἡλικίᾳ ἐν ἀκαθάρτῳ κόπρῳ καὶ οὔρῳ κυλίεται, καὶ δεινῶς θλίβεται· ὁ δὲ νέος ἐν τῇ νεανικῇ ἡλικίᾳ, ἐν δεινοῖς ἐστι καὶ πάθεσι διὰ τὴν διάζευξιν τῆς συνεύνου· ὁ δὲ γέρων ἐν τῇ γεροντικῇ ἡλικίᾳ καταγελᾶται καὶ καταφρονεῖται ὑπὸ τῶν ὡραίων γυναικῶν· εἴπατέ μοι, ἄνθρωποι, εἴ ἐστι καὶ ὀλίγη τις ἄνεσις ἐν τούτῳ τῷ κόσμῳ.

35. Τὸ μὲν γῆρας ἵσταται καὶ δειματοῖ, ὡς τίγρις· τὰ δὲ πάθη θλίβουσι τὸ σῶμα, ὡς ἐχθροί· ἡ δὲ ζωὴ διαῤῥέει, ὡς τὸ ὕδωρ ἐκ διεῤῥηγμένης στάμνου· ἀλλὰ καὶ οὕτω κακὰ πράττει ὁ ἄνθρωπος.

36. Ἄστατοί εἰσιν αἱ τρυφαί, ἐξ ὧν γίνεται ἡ εἰς τὸν κόσμον τοῦτον ἐπάνοδος (1)· διατί, ὦ ἄνθρωποι, πλανᾶσθε; ἀρκεῖ ὅσα ἐπράχθησαν ἐν τούτῳ τῷ κόσμῳ, ὅς ἐστιν αἴτιος τῶν τρυφῶν· εἰ ἀξιόπιστός ἐστιν ὁ ἐμὸς λόγος, ὁ νοῦς ἡμῶν, ἁγνὸς ὢν διὰ τῆς διαλύσεως, ὡς

(1) Δηλονότι ἡ μετεμψύχωσις καὶ μετασωμάτωσις.

βρόχου τῆς ἐπιθυμίας, στερεὸς ἔστω εἰς θείαν θεωρίαν, ἣ πρόξενός ἐστι τοῦ ἄκρου ἀγαθοῦ (1).

37· Ὦ ἀγαθὲ, ἔχε κλίσιν μὴ εἰς τὴν ἐφήμερον ἡδονὴν, ἀλλ' εἰς μόνην ἐκείνην τὴν θείαν γνῶσιν τὴν ὑψίστην καὶ ἀνέσπερον· ὅςτις γὰρ ἔχει ταύτην τὴν θείαν γνῶσιν, εἰς οὐδὲν τίθεται τὸν Βραχμᾶν, καὶ τὸν Ἴνδραν καὶ τοὺς λοιποὺς θεούς· καὶ ὡς πρὸς αὐτὴν ἀηδὴς ἡ ἡδονή ἐστι τῆς βασιλείας καὶ τῶν ἀγαθῶν τῶν τριῶν κόσμων (2).

38. Προσκύνησις τῷ Χρόνῳ (3) ἐκείνῳ, οὗ ἐξ αἰτίας ἅπαντα ἔρχονται μόνον εἰς ἐνθύμησιν· ἐκείνη ἡ ἀγλαὰ πόλις! ἐκεῖνος ὁ μέγας βασιλεύς! ἐκεῖνοι οἱ ὑποτελεῖς βασιλεῖς! ἐκείνη ἡ ἐκ σοφῶν βουλή! ἐκεῖναι αἱ σεληνοπρόσωποι γυναῖκες! ἐκεῖνοι οἱ περιφανεῖς στρατοί! ἐκεῖνοι οἱ ὑμνολόγοι! ἐκεῖνοι οἱ λόγοι (4)!

---

(1) Τὸ ἄκρον ἀγαθὸν ἐστὶν ἡ ἀθανασία.

(2) Τρεῖς κόσμοι ἐνταῦθα ἐννοοῦνται, ὁ ὑποχθόνιος, ὁ ἐπιχθόνιος, καὶ ὁ ἐπουράνιος, οἱ ἐν τῇ γενικῇ πανωλεθρίᾳ, πυρπολούμενοι, φθείρονται· καὶ αὐτοὶ δὲ ὁμοῦ οἱ θεοὶ φθορὰν λαμβάνουσιν, ὡς γέννησιν ἔχοντες· μόνη δ' ἄφθαρτος μένει ἡ ὑπεράνω τῶν οὐρανῶν χώρα ἐκείνη, ἔνθα ἐστὶν ἐκεῖνο τὸ ὕψιστον Θεῖον, τὸ ἀγέννητον, καὶ νοερόν. Αὕτη ἡ δόξα ὑπερισχύει καὶ ἐπικρατεῖ κατὰ τὸ παρόν. Ὅθεν καὶ ὁ ποιητὴς λέγει, ὡς ὁ ἔχων ταύτην τὴν θείαν γνῶσιν, τουτέςι, τὴν θείαν θεωρίαν, καταφρονεῖ καὶ αὐτῶν τῶν θεῶν, δηλονότι, ἀνώτερός ἐστι καὶ αὐτῶν τῶν θεῶν, οἱ φθαρτοί εἰσιν· ἐπειδὴ διὰ τῆς θείας θεωρίας τυγχάνει ἐκείνου τοῦ Θείου, ὅ ἐστιν ἀθάνατον καὶ ἄφθιτον.

(3) Εἰσί τινες τῶν φιλοσόφων Ἰνδῶν, οἱ δοξάζουσιν ὡς θεός ἐστιν ὁ Χρόνος, ὃς πάντα γεννᾷ καὶ φθείρει· βεβαιοῦσι δὲ τὴν δόξαν αὐτῶν, ἀποδειγματικῶς ἐκ τούτου, ὅτι πάντα κατὰ τὸν καιρὸν γίνονται, καὶ κατὰ τὸν καιρὸν πάλιν ἀπογίνονται.

(4) Πάντα δηλονότι ὑπὸ τοῦ Χρόνου ἀπόλλυνται καὶ οὐ φαίνονται, μόνον δὲ εἰς ἐνθύμησιν ἔρχονται· φερ' εἰπεῖν, ἐκείνη ἡ ἀγλαὰ πόλις! οἷον, ἡ Ἀλεξάνδρεια! ἐκεῖνος ὁ μέγας βασιλεύς! οἷον, ὁ μέγας Ἀλέξανδρος! κλπ.

39. Ὁ Κάλας, τουτέστιν, ὁ Χρόνος, ἀναῤῥίπτων, ὡς κύβους, τὴν νύκτα καὶ τὴν ἡμέραν, παίζει μετὰ τῆς Καλῆς (1), τουτέστι, τῆς θανατηφόρου Μοίρας, ἀνθρώποις ἐπὶ τοῦ κόσμου, ὡς πεσσοῖς ἐπ' ἀβακίου· καὶ ἐν ᾧ μὲν μέρει πολλοί εἰσιν, ἐν τούτῳ ποτέ ἐστιν εἷς· ἔνθα δ' ἔστιν εἷς, ἐνταῦθα ποτέ εἰσι πολλοὶ, καὶ τελευταῖον οὐδὲ εἷς (2).

40. Ἡ ζωὴ φθίνει καθ' ἑκάστην διὰ τῆς ἀνατολῆς καὶ δύσεως τοῦ ἡλίου· οὐ διαγινώσκεται δὲ, ὡς ὁ χρόνος παρέρχεται, ἐξ αἰτίας τῶν περὶ τὰ ἔργα περισπασμῶν καὶ φροντίδων· ὁ κόσμος, βλέπων τὴν γέννησιν, τὸ γῆρας, τὰ πάθη, καὶ τὸν θάνατον, οὐ φοβεῖται, ἐπειδὴ μεθύει, πιὼν τὸν οἶνον τῆς ἀκηδείας καὶ ἀγνοίας.

41. Οἱ ἄνθρωποι, νομίζοντες, ὡς ἡ ἐνεστῶσα ἡμέρα καὶ νὺξ, ἐκείνη ἐστὶν ἡ χθιζὴ, τρέχουσι μάτην εἰς τὰ συνήθη ἔργα καὶ εἰς τοὺς αὐτοὺς περισπασμούς, οἳ φέρουσι πάλιν αὐτοὺς εἰς τοῦτον τὸν κόσμον· ἡμεῖς οἱ τάλανες, θλιβόμενοι ὑπὸ τοῦ τοιουτοτρόπου τούτου κόσμου, οὐ γινώσκομεν τὴν ἣν ἔχομεν ἄγνοιαν.

42. Οὔτε θεωρίαν ἐποιήσαμεν, ὡς δεῖ, πρὸς τὸν Θεὸν εἰς τὸ λυτρωθῆναι τοῦ κόσμου (3), οὔτε ἔργα νόμιμα ἐπράξαμεν, ἅπερ ἀνοίγουσι τὴν θύραν τοῦ οὐρανοῦ· οὐ-

---

(1) Καλὴ, ἡ δύναμις τοῦ Κάλα, ἣν προσωποποιοῦντες ἀποδίδουσιν αὐτῷ ὡς παράκοιτιν.

(2) Καθὼς ἐν ᾧ μὲν οἰκίσκῳ τοῦ ἀβακίου πολλοί εἰσι πεσσοὶ, ἐν τούτῳ ποτέ ἐστιν εἷς· ἔνθα δὲ εἷς, ἐνταῦθα ποτέ εἰσι πολλοὶ, καὶ τελευταῖον οὐδὲ εἷς, οὕτω καὶ ἐπὶ τοῦ κόσμου ἐν ᾧ μὲν οἴκῳ πολλοί εἰσιν, ἐν τούτῳ ποτέ ἐστιν εἷς, ἐν ᾧ δὲ εἷς, ἐν τούτῳ ποτέ εἰσι πολλοί, καὶ τελευταῖον οὐδὲ εἷς.

(3) Δηλονότι, εἰς τὸ μὴ μεταγεννηθῆναι καὶ μετασωματωθῆναι, ἀλλ' ἀπαθανατισθῆναι.

δέ γε μὴν ἐν ἀπείρῳ ἐτρυφήσαμεν· μόνον δὲ τὴν νεότητα τῆς μητρὸς ἐφθείραμεν, γεννηθέντες, καθὼς ὁ πέλεκυς, κόπτων φθείρει τὴν ὕλην.

43. Οὔτε μάθησιν ἐγυμνάσθημεν, ἣ ἁρμόζει σπουδαίοις ἀνδράσι, καὶ καταβάλλει τὴν ὀφρῦν τῶν φιλονείκων καὶ λογομάχων, οὔτε ἡ φήμη ἡμῶν ἀνῆλθεν εἰς τὸν οὐρανὸν διὰ τῆς ἀκωκῆς τῆς ῥομφαίας, τῆς τεμνούσης τὸ μέτωπον τοῦ ἐλέφαντος ἐν πολέμῳ (1)· οὔτε ὁ χυμὸς τῶν ἁπαλῶν χειλέων ὡραίων γυναικῶν ἐπόθη ὑφ' ἡμῶν· φεῦ! ἀνωφελῶς ἀνηλώθη ἡ ἡμετέρα νεότης, καθὼς ὁ λύχνος ἐν κενῷ ἀνθρώπων οἴκῳ.

44. Οὔτε μάθησιν ἐκτησάμεθα ἐντελῆ, οὔτε πλοῦτον συνελεξάμεθα, οὔτε θεραπείαν ἐποιησάμεθα πρὸς τοὺς γονεῖς ἐκτενεῖ τῇ διανοίᾳ· ἀλλ' οὐδέ γ' ἐν ὕπνῳ ἠγκαλισάμεθα εὐοφθάλμους καὶ εὐειδεῖς γυναῖκας· διηνύσαμεν δὲ τὸν βίον τοῦτον, χαίνοντες εἰς ἀλλότρια βρώματα, ὡς οἱ κολοιοί.

45. Ἐξ ὧν ἡμεῖς ἐγεννήθημεν, οὗτοι πρὸ πολλοῦ ἀπῆλθον· σὺν οἷς δ' ἡλικιώθημεν καὶ ηὐξήθημεν, καὶ οὗτοι οὐ φαίνονται, ἀλλ' εἰς μνήμην μόνον ἔρχονται· ἡμεῖς δ' αὐτοὶ νῦν καθ' ἡμέραν μείωσιν λαμβάνομεν, καὶ στάσιν ἔχομεν ὁμοίαν δένδροις παρ' ἀμμώδει χείλει ποταμοῦ (1).

---

(1) Φρονοῦσι καὶ δοξάζουσιν (ὀρθῶς δὲ φρονοῦσι καὶ δοξάζουσιν), ὡς ὁ ἐν πολέμῳ νικητὴς ἀναφανείς, οὐ μόνον ἐν γῇ ὑπ' ἀνδρῶν καὶ γυναικῶν ὑμνολογεῖται καὶ δοξολογεῖται ᾄσμασι νικητηρίοις, ἀλλὰ καὶ ἐν οὐρανῷ ὑπό τε θεῶν καὶ θεαινῶν.

(2) Τὸ σφοδρὸν ῥεῦμα τοῦ ποταμοῦ πολλὰ δένδρα μετ' αὐτῆς τῆς ὄχθης καταβάλλει καὶ καταφέρει, μάλιστα δ' ἐν ὥρᾳ τῶν περιοδικῶν ὄμβρων.

46. Ἡ ζωὴ τῶν ἀνθρώπων ὡρίσθη εἰς ἑκατὸν ἔτη· ταύτης δὲ τῆς ἑκατονταετοῦς ζωῆς τὸ ἥμισυ ἀναφέρεται εἰς τὰς νύκτας· τούτου δὲ τοῦ ἡμίσεως τὸ ἥμισυ εἰς τὴν παιδικὴν καὶ γεροντικὴν ἡλικίαν· τὸ δὲ ἐναπολειφθὲν διανύεται σὺν νοσήμασι καὶ παθήμασι καὶ πόνοις ἐξ ὑπουργίας καὶ ἐργασίας· πόθεν ἄρα ἄνεσις τῇ ζωῇ τῶν ἀνθρώπων, ἥ ἐστι βραχυτελὴς, ὡς τὸ συῤῥηγνύμενον κῦμα;

47. Ὁ ἄνθρωπος ποτὲ μέν ἐστι παῖς, ποτὲ δὲ νέος ἐρωτικὸς, ποτὲ δὲ γέρων καὶ ἐῤῥυτιδωμένος, καὶ ποτὲ μὲν ἄπλουτος, ποτὲ δὲ πάμπλουτος, ὡς ὁ δραματουργὸς καὶ παντόμιμος· καὶ τελευταῖον εἰσέρχεται εἰς τὴν Ἰαμαδδανὴν (1), ὡς ὁ δραματουργὸς εἰς τὴν σκηνήν.

48. Εἰ καὶ περίβλεπτος εἶ ἐπὶ βασιλείᾳ, ἀλλὰ καὶ ἡμεῖς περιφανεῖς ἐσμὲν ἐπὶ μαθήσει· εἰ καὶ περίφημος εἶ ἐκ πλούτου, ἀλλὰ καὶ ἡμῶν τὴν φήμην οἱ ἐλλόγιμοι εἰς πάντα τὰ μέρη παρατείνουσι· τοῦτο δὲ μόνον τὸ διάφορόν ἐστιν ἀμφοτέρων ἡμῶν, ὅτι σοὶ μὲν τιμή ἐστιν ὁ πλοῦτος, ἡμῖν δὲ ἡ μάθησις· ὅθεν εἰ καταφρονεῖς ἡμῶν, καὶ ἡμεῖς αὐτοὶ καταφρονοῦμεν σοῦ αὐτοῦ.

49. Χρημάτων εἶ κύριος, ὦ βασιλεῦ; ἀλλὰ καὶ ἡμεῖς ἐσμεν λόγων κύριοι· ἥρως εἶ κατὰ τῶν πολεμούντων ὅπλοις; ἀλλὰ καὶ ἡμῖν δύναμίς ἐστιν δαμαστικὴ τῶν πολεμούντων λογοις· θεραπεύουσί σε οἱ φιλοχρήματοι; ἀλλὰ καὶ ἡμᾶς θεραπεύουσιν οἱ φιλομαθεῖς καὶ φιλόλογοι· εἰ καὶ οὐκ ἔστι σοι φροντὶς καὶ λόγος περὶ ἡμῶν, ἀλλὰ καὶ ἡμῖν οὐδεὶς λόγος περὶ σοῦ.

(1) Ἰαμαδδανὴ, ἑρμηνεύεται, πόλις τοῦ Ἰάμα, ὅς ἐστιν ὁ Ἀϊδωνεύς.

50. Ἡμεῖς μὲν ἀρκούμεθα τοῖς ἐκ φλοιῶν ἱματίοις (1)· σὺ δὲ τοῖς σηρικοῖς καὶ μαλακοῖς· ἐνταῦθα ἐξ ἴσου ἀρκούμεθα καὶ οὐδεμία ἐστὶ διαφορά· ἐκεῖνος δ' ἐστὶν ἐνδεὴς καὶ πτωχὸς, ᾧ ἀπληστία ἐστὶ μεγάλη· αὐτάρκους δ' οὔσης τῆς καρδίας, τίς πτωχός; τίς πλούσιος;

51. Ἀρκοῦσιν ἡδεῖαι ὀπῶραι εἰς βρῶσιν, καὶ ὕδωρ ἡδὺ εἰς πόσιν, καὶ εὐνὴ κατὰ γῆς, καὶ ἱμάτια ἐκ φλοιῶν· οὐ γὰρ φέρομεν ἀκολουθεῖν τῇ ἀταξίᾳ ἀπανθρώπων καὶ ἀπονενοημένων ἐκ μέθης τοῦ πλούτου, ὃν νεωστὶ ἐκτήσαντο.

52. Ἡμεῖς οὐκ ἐσμὲν οὔτε χορευταὶ, οὔτε πορνοβοσκοὶ, οὔτε ψάλται, οὔτε γυναῖκες, οὔτε γελωτοποιοὶ, καὶ βωμολόχοι· πῶς ἂν εἴημεν ἡμεῖς ἄξιοι ἰδεῖν τὸν βασιλέα;

53. Πάλαι ὑπὸ μεγαλοφρόνων βασιλέων ἐπολίσθη αὕτη ἡ γῆ, καὶ μετ' ἐκείνους ἐκυριεύθη ὑπ' ἄλλων· ἄλλοι δὲ πάλιν, νικήσαντες, ἐκυρίευσαν αὐτῆς τῆς γῆς, καὶ ἀφειδῶς ἐχαρίσαντο αὐτὴν ἄλλοις· καὶ ἄλλοι τῶν δεκατεσσάρων κόσμων (2) κύριοι ἐγένοντο· τούτων δὲ

---

(1) Οὐχὶ μόνων ἐκ φύλλων, ἀλλὰ καὶ ἐκ φλοιῶν δένδρων συῤῥάπτοντες, ποιοῦσι περιζώματα ἔνιοι τῶν ἐρημικὸν καὶ ἀσκητικὸν βίον ἐχόντων. Ἐν Ἰμαῷ τῷ ὄρει δένδρα εἰσὶ μεγάλα, ὧν οἱ φλοιοὶ ἁπαλοί εἰσι καὶ εὐκόλως οὐ διασχίζονται· ἐκ τούτου τοῦ φλοιοῦ στεγάζουσι τὰς οἰκίας οἱ ὀρεσίοικοι, καὶ ἐπὶ τούτου γράφουσι, χρώμενοι ἀντὶ χάρτου. Τὸ δ' ἐκ τούτου τοῦ φλοιοῦ βιβλίον οὐ διαλύεται, κἂν πολλὰς ἡμέρας ἐν ὕδατι μένῃ· οὐ μὴν ἀλλὰ καὶ τὰ γράμματα οὐκ ἐξαλείφονται· τὸ γὰρ μέλαν, ὃ κατασκευάζουσιν ἐκεῖ, ἐξαίρετόν ἐστι, καὶ δυσεξάλειπτον ὕδατι.

(2) Πολλαί εἰσιν αἱ δόξαι περὶ τῶν κόσμων· ἄλλοι μὲν γὰρ δοξάζουσιν, ὅτι δύο εἰσὶ γενικοὶ, ὁ οὐράνιος καὶ ὁ ἐπίγειος· ἄλλοι δὲ δοξάζουσι

τῶν νῦν ἀνθρωπαρίων ὁποία αὕτη ἡ ἔπαρσις, οἳ δεσπόται εἰσὶν ὀλίγων τινῶν πολυχνίων;

54. Αὕτη ἡ γῆ οὐδ᾽ ἐν ἀκαρεῖ ἔμεινεν ἄνευ κυρίων· ἀναρίθμητοι αὐτῆς κύριοι ἦλθον, καὶ ἀπῆλθον. Τοιαύτης γῆς ἐπὶ κτήσει, ὁποία ἔπαρσις τοῖς βασιλεῦσι; καίτοι δὲ δεῖ λύπην ἔχειν, χαρὰν καὶ οἴησιν τοὐναντίον ἔχουσιν οἱ μωροὶ βασιλεῖς, οἳ οὐδὲ τὸ πολλοστημόριον αὐτῆς τῆς γῆς ἔχουσιν ὑπ᾽ ἐξουσίαν.

55. Εἴθε διανυθείησαν ἐν ἁγίᾳ ἐρήμῳ αἱ ἡμέραι ἐμοῦ, ἐκφωνοῦντος τὸ ὄνομα τοῦ Θεοῦ, καὶ ἐξ ἴσου βλέποντος τόν τε ὄφιν καὶ τὸν ἐκ μαργάρων ὅρμον· τόν τε εὐμενῆ καὶ τὸν δυσμενῆ· τήν τε πολύτιμον λίθον καὶ τὴν βῶλον· τήν τε ἐξ ἀνθέων μαλακὴν εὐνὴν καὶ τὴν σκληρὰν πέτραν, τόν τε χόρτον καὶ τὸν τῶν γυναικῶν ὅμιλον.

56. Μεγάλη τις γνῶσις, ἡ εὐκτητός ἐστι θείᾳ χάριτι, γίνεται τοῖς ἀπαθέσι καὶ θεωρητικοῖς, οἳ χρῶνται τῇ παλάμῃ, ὡς τρυβλίῳ (1), καὶ ἀρκοῦνται τῷ ἐξ αἰτήσεως βρώματι, καὶ καθεύδουσιν, ὅπου ἂν τύχῃ, καὶ νομίζουσι τὸν κόσμον, ὡς ἄχυρον, καὶ τῇ θείᾳ χαρᾷ ἑνοῦνται πρὶν τοῦ θανάτου.

τρεῖς, προστιθέντες καὶ τὸν καταχθόνιον, ὃς λέγεται Πατάλα, ἔνθα οἰκοῦσιν οἱ μυθευόμενοι Τιτᾶνες καὶ Γίγαντες καὶ Δράκοντες· ἄλλοι δὲ πολλαπλασιάζοντες, λέγουσιν ὅτι δεκατέσσαρές εἰσιν, ἑπτὰ κάτωθεν τῆς γῆς, καὶ ἑπτὰ ἄνωθεν· διὰ τοῦτο καὶ μυθολογοῦσιν, ὡς ἔνιοι τῶν προγενεστέρων μεγαλουργῶν βασιλέων ἐκυρίευσαν τῶν δεκατεσσάρων κόσμων, οἳ ἀνήρχοντο καὶ κατήρχοντο ἀκωλύτως ἐπ᾽ ὀχημάτων αἰθεροπολικῶν καὶ ἀεροστατικῶν.

(1) Εἰσί τινες τῶν Γυμνοσοφιστῶν καὶ Κυνικῶν, οἳ οὐ χρῶνται ἄλλῳ τινὶ ἀγγείῳ εἰς θέσιν τοῦ ἐξ αἰτήσεως βρώματος, εἰ μὴ τῇ ἑαυτῶν παλάμῃ.

57. Διατί περιέρχῃ εἰς μάτην, ὦ διάνοια; ἄνεσίν που λάβε· καθὼς γὰρ γίνεται αὐτομάτως τὸ πρᾶγμα, τοῦτο οὕτως οὐ γίνεται ἄλλῳ τρόπῳ, πόνῳ δηλονότι καὶ μόχθῳ. Μὴ ἐνθυμοῦ τὰ παρῳχημένα, μηδὲ βουλεύου τὰ μέλλοντα· ἀπολάμβανε δὲ ἡδέως πάντα τὰ ἐξ ἀπροόπτου ἐρχόμενα.

58. Ἄπεχε, ὦ διάνοια, τούτων τῶν ὑπὸ τὴν αἴσθησιν ὀδυνηρῶν, καὶ ὅδευε τὴν ὁδὸν τῆς ἀρετῆς, τὴν ἀπαλλακτικὴν πάντων τῶν δεινῶν ἐντὸς ὀλίγου· προσκολλήθητι τῇ θείᾳ φύσει (διανοοῦ τὴν θείαν φύσιν) (1)· ἄφες τὴν ἄστατον φορὰν, ἣν ἔχεις· μηδ' ἔχε πάλιν κλίσιν εἰς τὰ τοῦ κόσμου φθαρτά· ἵλεως ἔσο νυνί.

59. Ἐξάλειψον, ψυχή, τὴν ἄγνοιαν· ἔχε κλίσιν πρὸς τὸν Σίβαν· ἀσπάζου τὴν διατριβὴν περὶ τὸ χεῖλος τοῦ Γάγγου· ὁποία εὐστάθεια ταῖς εὐτυχίαις, αἵ εἰσιν ὡς τὰ ἄστατα κύματα, ὡς οἱ πομφόλυγες, καὶ ὡς αἱ ἀστραπαί; ὁποία πίστις εἰς τὰς τροφὰς, αἵ εἰσιν ἐπικίνδυνοι, ὡς αἱ φλόγες, ὡς οἱ ὄφεις, καὶ ὡς οἱ ὠκύῤῥοοι ποταμοί;

60. Μηδόλως φρόνει, ὦ ψυχή, τοῦτον τὸν ἄστατον πλοῦτον, ὃς ἁρπάζεται ὑπὸ τυράννου· ἡμεῖς, τριβωνοφοροῦντες καὶ περιερχόμενοι ἀπὸ θύρας εἰς θύραν ἐν ταῖς ἀγυιαῖς τῆς Βαρανασῆς (2), αἰτήσομεν βρῶμα, τιθέμενον ἐν παλάμῃ, ὡς ἐν τρυβλίῳ.

---

(1) Διανοοῦ τὸ θεῖον δηλονότι.

(2) Βαρανασὴ, ἣ καὶ Κασσὴ λεγομένη, πόλις ἱερὰ, ἀρχαία, μεγάλη καὶ πολυθρύλλητος, κειμένη παρὰ τῷ χείλει τοῦ Γάγγου, ὃς καὶ ἀποτελεῖ αὐτὴν δρεπανοειδῆ. Ἱερὰ δὲ καὶ ἁγία κρίνεται, ἐπειδὴ τὸν μὲν ἱερὸν Γάγγην ἔχει παραῤῥέοντα, τὸν δὲ μέγαν θεὸν Σίβαν πολιοῦχον καὶ ἔφορον, καὶ καθέδρα ἐστὶ τῆς παρ' Ἰνδοῖς σοφίας καὶ θεολογίας· ὅθεν πολλοὶ παν-

61. Εἰ μὲν ἔστι σοι ταῦτα, ὦ ψυχὴ, ἔμπροσθεν μὲν μουσουργοὶ καὶ ἀοιδοὶ, ὄπισθεν δὲ γυναῖκες ἀγλααὶ μετὰ ῥιπιδίων, ἐκ δὲ τῶν πλαγίων ποιηταὶ καὶ σοφοὶ, τρύφα τροφὰς τούτου τοῦ κόσμου· εἰ δὲ μὴ, ἔχε κλίσιν εἰς θείαν θεωρίαν.

62. Δεδόσθω, ὅτι πλουτεῖς, καὶ πάντα τὰ ἐφετὰ ἀπολαμβάνεις· ἐκ τούτου τί; ἔστω, ὅτι ἔθηκας τὸν πόδα ἐπὶ τῆς κεφαλῆς των ἐχθρῶν· ἐκ τούτου τί; θῶμεν, ὅτι ἔχεις ἄφθονα πάντα· ἐκ τούτου τί; θὲς, ὅτι τὰ σώματα τῶν ἀνθρώπων ζῶσι μέχρι τῆς συντελείας τοῦ αἰῶνος· ἐκ τούτου τί (1);

63. Ἔστι σοι σέβας πρὸς τὸν Σίβαν; ἔστι σοι φόβος ἐκ γεννήσεως καὶ θανάτου; οὐκ ἔστι σοι προσπάθεια πρὸς τοὺς οἰκείους, οὐδὲ πάθη ἐξ ἔρωτος; ἐν ἐρήμῳ οἰκεῖς ἀοικήτῳ, ἔνθα τὰ ἐκ συναναστροφῆς κακὰ ἄπεστιν; ἔστι σοι ἀπάθεια; τί ἄλλο τούτου μᾶλλον περισπούδαστόν ἐστι;

64. Διανοοῦ ἐκεῖνο τὸ ὕψιστον Θεῖον, τὸ ἀτελεύτητον, τὸ ἀγήρατον, καὶ διαυγές· τί ὄφελος ἐκ των ματαίων τρυφῶν τούτου τοῦ κόσμου; αὗται γάρ εἰσιν ἥττονες ἐκείνης τῆς θείας τρυφῆς, καὶ ζηλωταὶ χαμαιζήλοις καὶ χαμερπέσιν ἀνθρώποις.

65. Σὺ, ὦ διάνοια, εἰσδύεις τὸν καταχθόνιον κόσμον, ἀναβαίνεις εἰς τὸν αἰθέρα, καὶ περιέρχῃ τὸ πᾶν διὰ τῆς ὀξύτητος, ἣν ἔχεις· πῶς δὲ καὶ ἐν παρέργῳ ἐκ

ταχόθεν καθ' ἑκάστην σχεδὸν προσφοιτῶσιν, οἱ μὲν εἰς οἴκησιν, οἱ δὲ εἰς μάθησιν, καὶ ἄλλοι εἰς προσκύνησιν.

(1) Δηλονότι καὶ μετὰ ταῦτα θάνατος.

λήθης οὐ διανοῇ ποτε ἐκεῖνο τὸ ἅγιον καὶ ψυχωφελὲς Θεῖον; πῶς ἔχεις ἄνεσιν;

66. Τί ὄφελος ἐκ Βεδῶν (1), ἐκ νόμων, ἐξ ἀναγνώσεως ἀρχαιολογικῶν καὶ θεογονικῶν καὶ ἐπιςημονικῶν βιβλίων, καὶ θυσιῶν, καὶ ἄλλων τοιούτων πράξεων, ἐξ ὧν οἴκησις γίνεται ἔν τινι γωνίᾳ τοῦ Οὐρανοῦ; ἐκτὸς γὰρ τῆς θείας γνώσεως, ἡ κατακαίει πάντα τὰ δεινὰ, ὡς τὸ πῦρ τὸ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, καὶ αἰτία γίνεται τῆς ἐντεύξεως τοῦ ὑψίςου Θείου, τὰ λοιπά εἰσιν ἐμπορικὰ ἀνταλλάγματα (2).

67. Τοῦ γηραλέου τὸ μὲν σῶμα συστέλλεται· τὸ δὲ βάδισμα παράφορον γίνεται· οἱ δ' ὀδόντες πίπτουσιν· ἡ δ' ὅρασις ἀμβλύνεται· ἡ δ' ἀκοὴ δυςήκοος γίνεται· τὸ δὲ στόμα σιελίζει· οἱ δ' οἰκεῖοι οὐχ ὑπακούουσιν· οὐδ' ἡ

(1) Τέσσαρές εἰσιν αἱ Βέδαι, τουτέστιν αἱ ἱεραὶ τῶν Ἰνδῶν βίβλοι, αἳ ἐξηρεύχθησαν, ὡς λέγουσιν, ἐκ τοῦ στόματος τοῦ πανσόφου Βραχμᾶ, τοῦ ποιητοῦ τοῦ παντός· καὶ αἱ μὲν τρεῖς διαλαμβάνουσι κατὰ τάξιν περὶ ἱερουργιῶν, θυσιῶν, λατρείας, καὶ πάσης ἄλλης νομικῆς πράξεως, καὶ τελευταῖον περὶ γνώσεως τῶν ὄντων καὶ θεολογίας· ἡ δὲ τετάρτη διαλαμβάνει περὶ ἀποτροπῆς καὶ ἀπαλλαγῆς τῶν πονηρῶν πνευμάτων, περὶ καταλύσεως καὶ ἀναιρέσεως τῶν ἐχθρῶν, καὶ περὶ γοητείας, μαγγανείας, καὶ φαρμακείας. Βέδα ἑρμηνεύεται, μάθησις, ἐπιστήμη, γνῶσις.

(2) Ἐνταῦθα ὁ ποιητὴς τῆς μὲν θεωρητικῆς ἀρετῆς ἔπαινον ποιεῖ, τῆς δὲ πρακτικῆς ψόγον, καὶ εἰρωνικῶς ἐμπορικὰ ἀνταλλάγματα καλεῖ τὰ τοῦ νόμου. Ὅμοιον δ' ἂν εἴη, ὥςπερ εἰ ἔλεγε· Καθὼς ὁ δεῖνα ἔδωκεν ἕνα ὀβολὸν, καὶ ἔλαβεν ἀντ' αὐτοῦ ἔλαιον, οὕτω καὶ ὁ δεῖνα ἀνέγνω τὴν Βέδαν ἢ ἐτέλεσε θυσίαν, ἢ ἄλλο τι νόμιμον ἔπραξε, καὶ ἔπειτα ἔτυχεν ἀμοιβαίως στάσεως ἔν τινι γωνίᾳ τοῦ Οὐρανοῦ, ἐξ οὗ πάλιν κάτεισιν εἰς γῆν. Πάντα δὲ ταῦτα ἀναφέρονται ἀντιῤῥητικῶς εἰς τοὺς προτιμῶντας τὴν πρακτικὴν ἀρετὴν, ἧς τὸ τέλος ἐστὶν ἡ ἀπόλαυσις τῶν οὐρανίων τρυφῶν.

γυνὴ θεραπεύει, ἀλλὰ καὶ ὁ υἱὸς ἐχθρὸς γίνεται· φεῦ τῶν δεινῶν!

68. Αἱ γυναῖκες, βλέπουσαι πολιὰν ἀνθρώπου, ἥ ἐστι σημεῖον γέροντος, καὶ αἰτία καταφρονήσεως, ἀποφεύγουσιν αὐτὸν, καθὼς οἱ ἄνθρωποι φεύγουσι μακρὰν, βλέποντες τὸ ὀστέον, τὸ ἐμπεπηγμένον παρὰ τῷ φρέατι τῶν ἀκαθάρτων καὶ βεβήλων (1).

69. Ἐν ὅσῳ τὸ μὲν σῶμα εὔρωστόν ἐστι καὶ ἄνοσον, τὸ δὲ γῆρας μακρὰν, ἡ δὲ δύναμις τῶν αἰσθήσεων ἀλύμαντος, καὶ ἡ ἡλικία νέα, ἐν τοσούτῳ δεῖ τῷ φρονίμῳ ποιεῖν τρόπους εἰς οἰκεῖον ὄφελος· πυρπολουμένου γὰρ τοῦ οἴκου, τί ὄφελος ἀνορύττειν φρέαρ (2);

70. Ὀλιγοχρονίου οὔσης τῆς ζωῆς τοῦ ἀνθρώπου, ἡμεῖς οὐκ οἴδαμεν, τί ποιήσωμεν! ἄσκησιν ἀσκήσωμεν; ἢ παρὰ τῷ Γάγγῃ οἰκήσωμεν; σὺν γυναιξὶν εὐειδέσι τρυφήσωμεν; ἢ ἐπιστήμας μάθωμεν, καὶ τὰ ἡδέα εἴδη τῆς ποιητικῆς;

71. Οὐκ ἔστιν ἄλλο παρὰ τοῖς φρονίμοις ἐπωφελέστερον τῆς ἀσκήσεως καὶ ἐγκρατείας, φίλη ψυχή· ὁ μὲν γὰρ δεσπότης δυςθεράπευτός ἐστιν· οἱ δὲ βασιλεῖς πα-

---

(1) Ἀκάθαρτοι καὶ βέβηλοι, ἢ ἄθικτοι κρίνονται παρὰ τοῖς Ἰνδοῖς οἱ θνησιμαιοφάγοι, οἱ κοπροφόροι, καὶ οἱ βυρσοδέψαι· διὰ τοῦτο ἐν ταῖς κώμαις χωριστά εἰσι τὰ φρέατα, ἐξ ὧν ἀντλοῦσιν ὕδωρ· εἰς δὲ διάκρισιν ἐμπηγνύουσι παρὰ τῷ φρέατι ἓν ὀστέον ὄνου ἢ ἵππου.

(2) Τὰ στεγάσματα τῶν ἐν κώμαις οἰκιῶν ἐκ χόρτων εἰσί· διὰ τοῦτο πολλάκις συμβαίνει πυρκαϊὰ ὀλεθρία, μάλιστα δ' ἐν ὥρᾳ θέρους· εἰς δὲ κατάσβεσιν ὕδωρ καταχέουσιν ἐκ φρεάτων· ἔνιοι δὲ προμηθεῖς ὄντες, στάμνους ὕδατος πλήρεις τιθέασιν ἐπὶ τῆς στέγης, ἵνα ὦσι πρόχειροι ἐν ἀνάγκῃ.

λίμβουλοι· ἡμεῖς δὲ μεγάλα ζητοῦμεν, καὶ μέγα ἀξίωμα θέλομεν· τὸ δὲ γῆρας λυμαίνει τὸ σῶμα· ὁ δὲ θάνατος ἁρπάζει τὴν ποθητὴν ζωήν.

72. Ὅτε οὔτε τιμή ἐστιν, οὔτε πλοῦτος, οὔτε οἰκεῖος, ἢ συγγενὴς, ὁ δ' αἰτῶν πένης ἀπέρχεται, μὴ τυγχάνων, ἡ δ' ἀκμὴ τῆς νεότητος παρακμάζει, δεῖ τῷ εὔφρονι οἰκεῖν παρὰ τῇ ὄχθῃ τοῦ ἁγιαστικοῦ Γάγγου, ἢ ἐν σπηλαίῳ, ἢ ἐν φάραγγι συνηρεφεῖ.

73. Ἡδεῖαί εἰσιν αἱ ἀκτῖνες τῆς σελήνης· ἡδεῖά ἐστιν ἡ τῶν σπουδαίων ἀνδρῶν ὁμιλία· ἡδεῖαί εἰσιν αἱ ἐν ταῖς ποιήμασιν ἀφηγήσεις· ἡδύ ἐστι τὸ πρόσωπον τῆς γυναικὸς, τὸ περιῤῥεόμενον δάκρυσιν ἐκ θυμοῦ πλαστοῦ· πάντα ἐστὶν ἡδέα· οὐδὲν ὅμως εἰσὶ ταῦτα, ὅταν ὁ νοῦς νοήσῃ τὴν ματαιότητα αὐτῶν.

74. Ἡδύς ἐστιν εἰς οἴκησιν ὁ λαμπρὸς οἶκος· ἡδύ ἐστιν εἰς ἀκοὴν τὸ ᾆσμα καὶ πᾶν μουσικὸν ὄργανον· εὐφραντική ἐστιν ἡ τῆς γυναικὸς ὁμιλία· ἀλλ' οἱ ἀγαθοὶ ἄνδρες, λογιζόμενοι ταῦτα πάντα ἄστατα, ὡς τὸ φῶς τοῦ λύχνου, τὸ ἀποσβεννύμενον ἐκ τοῦ ἀέρος ἢ τῆς πυραλλίδος, πορεύονται εἰς ἔρημον.

75. Εἰ, ἡ μὲν θαυμαστὴ Μερόη (1) ἀφανίζεται, πυρπολουμένη ὑπὸ τοῦ πυρὸς ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος (2), ἡ δὲ θάλασσα ξηραίνεται, ἐν ᾗ τοσαῦτά ἐστι κήτη μεγάλα, ἡ δὲ γῆ ὄλλυται, ἡ ἔχουσα ὄρη στιβα-

(1) Μερόη, ὄρος μέγιστον καὶ ὑψηλότατον, περὶ οὗ ἐῤῥέθη πρότερον.

(2) Ἡ φθορὰ τοῦ παντὸς, ποτὲ μὲν διὰ κατακλυσμοῦ, ποτὲ δὲ διὰ πυρὸς γίνεται.

ρὰ, πολλῷ μᾶλλον τὸ σῶμα, ὅ ἐστι βραχυτελὲς καὶ ὀλιγοχρόνιον (1).

76. Ἡμεῖς, οἳ θεωροῦμεν τοῦτο τὸ πᾶν ἐκ γενέσεως, οὔτε ἠκούσαμεν, οὔτε εἴδομεν τοιοῦτον, ὃς κατεδάμασε τὰ πάθη, ἅ εἰσιν, ὡς ἄγριοι καὶ μανικοὶ ἐλέφαντες.

77. Μεγάλης προπεπραγμένης ἀσκήσεως (ἀρετῆς) καρπός ἐστι ταῦτα· ἡ ἐλευθέρα διατριβὴ, τὰ πολυδάπανα βρώματα, ἡ πολλῶν ὑπηρετῶν ἀκολουθία, ἡ μάθησις μετὰ τῆς πράξεως τῶν τοῦ νόμου, καὶ ἡ τῆς ὀξυῤῥεποῦς διανοίας ἀποχὴ ἀπὸ τῶν ὑπὸ τὴν αἴσθησιν (2).

78. Αἱ μὲν ἐπιθυμίαι σήπονται ἐν καρδίᾳ! ἡ δὲ νεότης παρέρχεται· αἱ δ' ἀρεταὶ πᾶσαι ἀνωφελεῖς εἰσι, μηδενὸς ὄντος φιλοκάλου· ὁ δ' ἰσχυρὸς καὶ νηλεὴς θάνατος ἐξαίφνης ἐπέρχεται· τί δεῖ ποιῆσαι; γνωστόν ἐστιν· οὐδεμία γὰρ ἄλλη σωτηρία, ἀλλ' ἢ ἡ καταφυγὴ εἰς τὸ ζεῦγος τῶν ποδῶν τοῦ Σίβα (3).

---

(1) Ἐνταῦθα ὁ ποιητὴς ὁμολογεῖ τὴν ἀλήθειαν. Φροῦδα ἄρα εἰσὶν ὅσα φιλοσοφικὰ εἴρηκε περὶ ἀπαθείας καὶ θεωρίας θείας.

(2) Φρονοῦσι δὲ καὶ δοξάζουσιν, ὡς ἡ μὲν εὐπραγία καὶ εὐπάθεια, καρπός ἐστι προπεπραγμένης ἀρετῆς, ἡ δὲ κακοπραγία καὶ κακοπάθεια, καρπὸς προπεπραγμένης κακίας. Ἄπρακτοι δηλονότι μένουσιν· οὐ γὰρ ἐπιτυγχάνει, ὧν ἐπιθυμεῖ, ἡ καρδία.

(3) Ἐν Ἰνδίᾳ τῶν ποδῶν ἅπτονται τοῦ θεοῦ, τοῦ Βραχμᾶνος, ἢ τοῦ πατρὸς, τῆς μητρὸς, τοῦ πρεσβυτέρου ἀδελφοῦ, τοῦ διδασκάλου, τοῦ βασιλέως, καὶ παντὸς ἐνδόξου καὶ μεγάλου, ἢ γονυπετοῦντες, θήγουσι διὰ τοῦ μετώπου. Οὕτω δὲ ποιοῦσιν, ὅταν ἀσπάζωνται, ἢ ὅταν δέωνται καὶ ἱκετεύωσιν· ἐνίοτε δ' ἅπτονται καὶ τῶν γονάτων, ὡς καὶ ὁ Πρίαμος

Χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας.

Φιλεῖν δὲ τὴν χεῖρα οὐκ ἔστιν ἔθος παρὰ τοῖς Ἰνδοῖς.

79. Πότε πορευθήσομαι εἴς τινα τοῦ Γάγγου ὄχθην, ἣ λευκαίνεται ταῖς λευκαῖς μαρμαρυγαῖς τῆς σελήνης ἐν νυξὶν, ἐν αἷς ἦχος γίνεται ἐκ τῶν ἐξανισταμένων κυμάτων; πότε πορευθήσομαι, ἀπέχων τῶν κοσμικῶν παθῶν, ἐκφωνῶν θερμῶς τὸ ὄνομα τοῦ Σίβα, καὶ χέων δάκρυα κατανύξεως;

80. Ἀφοῦ διασκορπίσωμεν τὸν πλοῦτον, ἀναπολοῦντες τὸ φθαρτὸν καὶ πρόσκαιρον τοῦ κόσμου, καταφύγωμεν εἰς τὸν πόδα τοῦ Σίβα, καρδίαν ἔχοντες πλήρη ἐλέους πρὸς πάντα τὰ ἔμψυχα, καὶ διανύσωμεν τὴν νύκτα, λάμπουσαν σεληνιαίῳ φωτὶ, ἐν καθαρᾷ ἐρήμῳ.

81. Πότε, ἔχων ὑπογάστριον ταινίαν (1), κατοικήσω ἐν Βαρανασῇ κατὰ τὴν ὄχθην τοῦ οὐρανίου Γάγγου, καὶ διανύσω τὰς ἡμέρας πάσας, ὡς μίαν στιγμὴν τῆς ὥρας, ἔχων ἡνωμένας τὰς παλάμας ἐπὶ κεφαλῆς (2), καὶ ἐκφωνῶν τὸ, « Ἱλάσθητί μοι, ὦ τριόφθαλμε Σίβα; »

82. Πότε, λουόμενος ἐν ὕδασι τοῦ Γάγγου, καὶ λατρεύων σοὶ, ὦ Σίβα, ὀπώραις καὶ ἄνθεσι (3), καὶ θεωρῶν σὲ τὸν νοητὸν, καθήμενος ἐπὶ πέτρας, ὡς ἐπὶ κλί-

---

(1) Ἄλλοι μὲν τῶν γυμνοσοφιστῶν ὁλόγυμνοί εἰσιν, ἄλλοι δὲ ἡμίγυμνοι, καὶ ἄλλοι καλύπτουσι μόνον τὰ αἰδοῖα διὰ ταινίας.

(2) Ἔμπροσθεν τῶν θεῶν ἢ ἐνδόξων (Δεσποτῶν) ἐκτείνοντες τὰς χεῖρας, ἑνοῦσι τὰς παλάμας, ἢ τιθέασιν αὐτὰς τὰς χεῖρας οὕτως ἡνωμένας ἐπὶ κεφαλῆς· σημεῖον δ' ἔστι τοῦτο εὐλαβείας καὶ ὑπακοῆς.

(3) Οἱ Ἰνδοὶ, λατρεύοντες, προσφέρουσι τοῖς ἀγάλμασι τῶν θεῶν ὀπώρας, ἄνθη, στεφάνους ἐξ ἀνθέων, θυμίαμα, καὶ γλυκίσματα σακχαρωτά· ἐν δὲ τῷ λύχνῳ, ὃν ἅπτουσι πρὸ τοῦ θεοῦ, οὐ τιθέασιν ἔλαιον, ἀλλὰ βούτυρον, κρίνοντες τὸ μὲν βούτυρον καθαρὸν, τὸ δ' ἔλαιον ἀκάθαρτον, καὶ προτείνοντες, ὅτι τὸ μὲν βούτυρον καιόμενον εὐωδίαν παρέχει, τὸ δ' ἔλαιον δυσωδίαν.

νης, αὐτάρκης ὢν, καὶ ὀπωροφαγῶν; πότε ἀπαλλαγήσομαι τοῦ δεινοῦ, τοῦ ἐξανισταμένου ἐκ τῆς πρὸς ἄνθρωπον ὁμοειδῆ θεραπείας, καὶ ὑπουργίας;

83. Πότε, ὦ Σίβα, μόνος ὢν, καὶ ἀνέραστος, καὶ πρᾶος, καὶ ἔχων τὴν μὲν παλάμην, ὡς τρυβλίον, τὸν δ' αἰθέρα (1), ὡς ἄμφια, πότε δυνήσομαι ἐξαλεῖψαι πάντα τὰ ἔργα (2);

84. Οἷς τισιν ἡ μὲν παλάμη ἐστὶν, ὡς τρυβλίον, τὸ δ' αἰτήσεως βρῶμα, ὡς βρῶμα καθαρὸν, ὁ δ' αἰθὴρ, ὡς μέγα φόρεμα, ἡ δὲ γῆ, ὡς κλίνη μεγάλη, ἡ δ' ἐνέργεια τῶν αἰσθήσεων ἀπέχει τῶν αἰσθητῶν, οὗτοι οἱ αὐτάρκεις καὶ μεγαλόφρονες καὶ μακάριοι, ἐξαλείφουσι τὰ ἔργα (3).

---

(1) Αἰθεροείμων ὢν, τουτέστιν ὁλόγυμνος.

(2) Οἱ προτιμῶντες τὴν θεωρητικὴν ἀρετὴν, προτείνουσιν, ὅτι τὰ ἔργα, εἴτε καλὰ, εἴτε κακὰ, δεσμός ἐστι τῆς ψυχῆς μετὰ τοῦ σώματος· ὅταν δὲ ἐξαλειφθῶσι τὰ ἔργα, εἴτε ἀγαθὰ εἴτε φαῦλα, τότε λυτροῦται τούτου τοῦ δεσμοῦ ἡ ψυχὴ, οὐ μετασωματοῦται δηλαδὴ, ἀλλὰ σύνεστι τῷ Θεῷ ἀϊδίως· ἐξαλείφονται δὲ διὰ τῆς πρὸς τὸν θεὸν θεωρίας καὶ ἀπαθείας. Ἄλλοι μὲν οὕτω δοξάζουσι, καὶ διὰ τοῦτο διϊσχυρίζονται, ὡς ἡ θεωρητικὴ ἀρετὴ, κρείττων ἐστὶ τῆς πρακτικῆς, ὡς οὖσα αἰτία τοῦ ἄκρου ἀγαθοῦ, ὅ ἐστιν ἡ ἀθανασία, ὡς ἐῤῥέθη καὶ πρότερον· οὗτοι δὲ δοξάζουσι καὶ τὸν κόσμον γεννητὸν καὶ φθαρτὸν, ὧν τὸ δόγμα κατὰ τὸ παρὸν ὑπερισχύει καὶ ἐπικρατεῖ. Ἄλλοι δὲ προτιμῶσι τὴν πρακτικὴν ἀρετὴν, καὶ διὰ τοῦτο δοξάζουσιν, ὡς ὁ ἄνθρωπος ἔργα πράξας ἀγαθὰ, τρυφᾷ μετὰ θάνατον τῶν οὐρανίων ἀγαθῶν· ἐν Οὐρανῷ δὲ τρυφήσας εἰς ὡρισμένον χρόνον, κατ' ἀναλογίαν τῶν πράξεων, πάλιν κατέρχεται εἰς γῆν, ἔνθα πάλιν πράξας ἔργα ἀγαθὰ, πάλιν ἀνέρχεται εἰς οὐρανὸν, καὶ οὕτω πάλιν καὶ πολλάκις κατὰ κυκλοφορίαν ἀϊδίως. Ἄκρον δ' ἀγαθὸν παρ' αὐτοῖς τοῦτό ἐστιν, ἡ ἀπόλαυσις τῶν οὐρανίων ἀγαθῶν. Δοξάζουσι δ' οὗτοι τὸν κόσμον ἀγέννητον καὶ ἀτελεύτητον.

(3) Δηλονότι λυτροῦνται τοῦ ἐκ τῶν ἔργων δεσμοῦ, καὶ οὕτως ὄντες ἐλεύθεροι καὶ ἀπαθεῖς καὶ καθαροὶ, τῷ ἐλευθέρῳ καὶ ἀπαθεῖ καὶ καθαρῷ Θεῷ σύνεισιν.

85. Γνῶσις θεία, εὔκτητος θείᾳ χάριτι, γίνεται τοῖς θεωρητικοῖς, οἳ ἔχουσι τὴν παλάμην, ὡς τρυβλίον, καὶ ἀρκοῦνται τῷ ἐξ αἰτήσεως βρώματι, καὶ οἰκοῦσιν, ὅπου ἂν τύχῃ, καὶ εἰς οὐδὲν τίθενται τὸν πλοῦτον, καὶ τὴν τρυφὴν, καὶ τὸν κόσμον, καὶ θεῖα φρονοῦντες, ἐφίενται τῆς αἰσθήσεως τῆς ὑψίστης χαρᾶς.

86. Τίς χρεία παγκοσμίου βασιλείας, ὅτε περίζωμά ἐστι ῥακῶδες, καὶ τριβώνιον τοιοῦτον, καὶ αὐτάρκεια, καὶ βρῶμα ἐξ αἰτήσεως, ὅ,τι ἂν τύχῃ, καὶ κοίτη ἐν νεκρικῷ τόπῳ, καὶ ἐλευθέρα διατριβὴ, καὶ καρδία πραεῖα, καὶ σταθερότης ἐπὶ τῆς χαρᾶς τῆς θεωρίας;

87. Ὁποία ἐπιθυμία παγκοσμίου βασιλείας τῷ μεγαλόφρονι; ὁ μέγας ὠκεανὸς οὐ διαταράττεται ἐκ τῆς νήξεως μικροῦ ἰχθύος (1).

88. Ὦ μῆτερ Λαξμὴ (2), μὴ ἐμὲ, ἀλλ' ἄλλον τινὰ ἀσπάζου καὶ ἀγάπα· ἐν καταφρονήσει γὰρ ὑπάρχεις παρὰ τοῖς καταφρονοῦσι καὶ μὴ ἐπιθυμοῦσι τῶν τοῦ κόσμου τρυφῶν· νῦν γὰρ ἡμεῖς ἐφιέμεθα ζῆν ἐξ αἰτήσεως πτισσάνης (3), ἐν τρυβλίῳ συνεῤῥαμμένῳ φύλλοις Παλάσσα (4).

---

(1) Ὅμοιον δ' ἂν εἴη, ὥςπερ εἰ ἔλεγε· καθὼς ὁ μέγας ὠκεανὸς οὐ διαταράττεται ἐκ τῆς νήξεως μικροῦ ἰχθύος, οὕτω καὶ ὁ μεγαλόφρων, τουτέστιν ὁ αὐτάρκης, οὐ διαταράττεται ἐκ τῆς ἐπιθυμίας μεγάλης βασιλείας, οὐκ ἐπιθυμεῖ δηλ. τῶν ἀγαθῶν μεγάλης βασιλείας, νομίζων αὐτὰ μικρά.

(2) Λαξμὴ, ἡ θεὰ τοῦ πλούτου.

(3) Κριθὴν καὶ ἐρέβινθον φρύγουσι, καὶ ἔπειτα ἀλέθουσι· τὸ δὲ τοιοῦτον ἄλευρον λέγεται Σακτοῦ, κοινῶς Σατοῦ· ἐγχέοντες δὲ τῷ τοιούτῳ ἀλεύρῳ ὕδωρ, καὶ συμφύροντες ἐσθίουσιν· ἔστι δὲ βρῶμα λιτὸν καὶ πρόχειρον· ὅςτις δὲ θέλει, ἢ ἔχει, ἐντίθησι καὶ ὀλίγον ἅλας ἢ σάκχαρον, εἰς τὸ ποιῆσαι ἡδυτέραν τὴν γεῦσιν.

(4) Φύλλα δένδρων συῤῥάπτοντες, κατασκευάζουσι τρυβλία· οὕτω δὲ

89. Ἐγὼ Μοναστὴς ἔσομαι, ζῶν ἐξ αἰτήσεως, ἢ ἐσθίων ῥίζας, ἃς εὑρίσκω ἐν γῇ, δαμάζων τὰ πάθη, μὴ συνὼν ἀνθρώποις, μὴ ἐπιθυμῶν διδόναι καὶ λαμβάνειν, ἐνδυόμενος ῥάκη, ἃ εἰσι παρεῤῥιμμένα ἐν ὁδοῖς, μηδεμίαν τιμὴν θέλων, μηδὲ κόμπον ἔχων, καὶ τρυφὴν μόνην νομίζων τὴν ἡσυχίαν καὶ ἄνεσιν.

90. Ἡ μὲν γῆ ὡς κλίνη, ὁ δὲ βραχίων ὡς προσκεφάλαιον, ὁ δ' αἰθὴρ ὡς παραπέτασμα, ὁ δ' ἀὴρ ὡς ῥιπίδιον, ἡ δὲ σελήνη ὡς λύχνος, ἡ δ' ἀπάθεια ὡς γυνή· οὕτως ἀναπαύεται ἡδέως ὁ θεωρητικὸς, ὁ θεωρῶν τὸ ὕψιστον Θεῖον, καὶ εὐφραινόμενος τῇ ἐπιμιξίᾳ καὶ ἡσυχίᾳ.

91. Ὁ ἀπαθὴς, ὅτε βαδίζει κατὰ τὴν ὁδὸν, οὔτε ὀργίζεται, οὔτε ἀγάλλεται, ἀκούων τῶν ἀνθρώπων λεγόντων ταῦτα κατὰ τὴν ἑαυτῶν κρίσιν· « Τίς οὗτος; » ἀκάθαρτός ἐςιν; ἢ Βραχμάν; εὐτελὴς καὶ ἐλάχιστος; » ἢ θεωρητικὸς καὶ θεόφρων; »

92. Ἐπειδὴ ἐγὼ ἀπέρχομαι εἰς τὸ ὕψιστον Θεῖον, ἀφεὶς (ἀποβαλὼν) τὴν μεγάλην ἄγνοιαν ἕνεκα τῆς θείας γνώσεως, ἣν ἔλαβον παρὰ τῆς ὁμιλίας τῶν ἀγαθῶν

εὐαρμόστως συῤῥάπτουσιν, ὥςτε μήτε γάλα μήτε ὕδωρ διαῤῥέειν, εντιθέμενον· κρίνονται δὲ τὰ τοιαῦτα φύλλινα τρυβλία καθαρώτερα τῶν ἐξ ἄλλης ὕλης· δι' ἣν αἰτίαν ἔνιοι καὶ τῶν πλουσίων χρῶνται τούτοις, ὡς καθαροῖς.

Παλάσσα δὲ, δένδρον μέγα καὶ ἱερὸν, οὗ τὸ ξύλον καίουσιν ἐν θυσίαις. Τοῦτο τὸ δένδρον πρῶτον μὲν ἐκφύει τὰ ἄνθη, εἶτα δὲ τὰ φύλλα· καὶ τὰ μὲν φύλλα μαλακά εἰσι, τὰ δὲ ἄνθη μακροειδῆ καὶ κυρτοειδῆ, καὶ λίαν ἐρυθρά. Τὸ δάσος τοιούτων δένδρων ἀνθοφορούντων, ἰδὼν πόῤῥωθεν ὁ ἄνθρωπος, νομίζει, ὅτι πυρκαϊά ἐστι.

καὶ σπουδαίων ἀνδρῶν, διὰ τοῦτο ἑνῶν τὰς παλάμας, δίδωμι ὑμῖν τὴν τελευταίαν πρόσρησιν, μῆτερ γῆ, πάτερ ἀὴρ, φίλον πῦρ, συγγενὲς ὕδωρ, καὶ ἀδελφὲ αἰθήρ (1).

93. Ἐν ὥρᾳ θανάτου βοηθός ἐστιν ἡ ἀρετὴ μόνη· τὰ δὲ λοιπὰ πάντα ματαιότης, ἡ γυνὴ, ὁ υἱὸς, οἱ ὑπηρέται, οἱ συγγενεῖς, οἱ φίλοι, ἡ μήτηρ, ὁ πατὴρ, ὁ ἀδελφὸς, ἡ τρυφὴ, ἡ δόξα, ὁ πλοῦτος, ἡ μάθησις, τὸ κάλλος, ἡ νεότης, ἡ τιμὴ, καὶ ἡ ἔπαρσις.

---

(1) Καθὼς ὁ πνέων τὰ λοίσθια, δίδωσι τὴν τελευταίαν πρόσρησιν τοῖς παροῦσιν, οὕτω καὶ ὁ ἀναχωρητὴς καὶ μοναστὴς, οὗ ὡς πατὴρ καὶ μήτηρ, καὶ ἀδελφὸς, καὶ φίλος, καὶ συγγενής ἐστιν ἕκαστον τῶν πέντε στοιχείων. Οἱ φιλόσοφοι τῶν Ἰνδῶν προστιθέντες καὶ τὸν αἰθέρα, τουτέστι τὸ κενὸν, πέντε στοιχεῖα ἀπαριθμοῦσι καὶ δοξάζουσι.

ΠΟΛΙΤΙΚΑ, ΟΙΚΟΝΟΜΙΚΑ

ΚΑΙ ΗΘΙΚΑ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ.

ΠΟΛΙΤΙΚΑ, ΟΙΚΟΝΟΜΙΚΑ·
ΚΑΙ ΗΘΙΚΑ
ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ.

1. Προσκυνήσας τὸν Θεὸν, τὸν ἰσχυρὸν, καὶ κύριον τῶν τριῶν κόσμων, ἐρῶ περὶ Ἠθολογιῶν, αἳ ἐξήχθησαν ἀπ' ἄλλων βιβλίων.

2 Διὰ τὴν ἔφεσιν, ἣν ἔχω, τῆς ὠφελείας τῶν ἀνθρώπων, ἐρῶ ἔγωγε ἐκεῖνα, ὧν ἐκ μόνης τῆς γνώσεως φωτίζεται ὁ νοῦς τῶν ἀνθρώπων.

3 Ὅςτις τοίνυν ἀναγινώσκει τοῦτο τὸ ἐγχειρίδιον, οὗτος γινώσκει κυρίως τὸ συμβουλεύειν ἄλλοις τὰ ὀρθὰ, καὶ τὸ πρακτέον καὶ τὸ μὴ πρακτέον, καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν.

4. Ἀποστρέφου τὴν τῶν κακῶν ὁμιλίαν, καὶ ἀσπάζου τὴν τῶν ἀγαθῶν· ποίει ἀγαθὰ ἡμέρας τε καὶ νυκτὸς, διὰ μνήμης ἔχων ἀεὶ τὴν ματαιότητα τῶν τοῦ κόσμου.

5. Πορρωτάτω ἀπόβαλλε τὴν διάλυσιν τῆς φιλίας τῶν ἄλλων, τὴν διαβολὴν, τὴν δημοσίευσιν τῶν ἀλλοτρίων σφαλμάτων, τὴν φιλονεικίαν, καὶ τὴν κατηγορίαν.

6. Ἄκουσον τὸ καθόλου τῶν τοῦ νόμου, καὶ τῆς ἀρετῆς· καὶ ἀκούσας, θὲς ἐν νοΐ· Ὅ,τι σοι δυςάρεστόν ἐστι, τοῦτο μὴ ποιήσῃς ἄλλοις (1).

(1) Ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς.

7· Ἀπόφευγε τὸ συνοικεῖν οὐτιδανῷ καὶ εὐτελεῖ, τὸ ὁρᾷν τὸ ἀνέραστον, τὸ φιλονεικεῖν καὶ λογομαχεῖν μετὰ φίλου, καὶ τὸ διαλλαγὴν εἰλικρινῆ ποιεῖν πρὸς ἐχθρόν.

8. Κατὰ τὸν καιρὸν γίνεται διαλλαγὴ πρὸς ἐχθρὸν, καὶ κατὰ τὸν καιρὸν σύναξις συμμάχων· ὁ δὴ φρόνιμος, ποιῶν τὰ δέοντα κατὰ τὸν καιρὸν, ὅς ἐστιν αἴτιος πάντων, καλῶς διανύει τὸν καιρόν.

9. Καὶ ὁ σοφὸς ἀνὴρ διόλλυται ἐκ τῆς πρὸς μωρὸν συμβουλῆς, ἐκ τοῦ γάμου (τῆς συζεύξεως) κακῆς γυναικὸς, καὶ ἐκ τῆς τῶν ἐχθρῶν ἐντεύξεως.

10. Συνεχῶς ταῦτα ἐννόει· Ὁποῖός τίς ἐστιν ὁ καιρός· ὁποῖοί τινες οἱ φίλοι, καὶ ὁποῖος ὁ τόπος· πόση ἡ πρόσοδος, καὶ πόση ἡ δαπάνη· τίνος εἶ σὺ, καὶ τίς ἡ σὴ δύναμις.

11. Οὐ δεῖ λογομαχίαν ἔχειν μετ' ἄλλου, οὐδὲ ζημίαν ποιεῖν πρὸς ἄλλον, οὐδ' ἀλλότριον πρᾶγμα λαμβάνειν, ἢ ἀλλοτρίαν γυναῖκα, οὐδὲ μὴν οἰκεῖν ἐν ἀλλοτρίῳ οἴκῳ.

12. Οὐδαμῶς λυμαίνεται, ὃς ἀγαθοῖς συνεδρεύει, καὶ σοφοῖς συνδιαλέγεται, καὶ φιλίαν ἔχει πρὸς ἐκείνους, οἳ οὐκ ἔχουσιν ἦθος πλεονεκτικόν.

13. Ὁ μὲν ἐπωφελὴς, εἰ καὶ ξένος, οἰκεῖος λέγεται· ὁ δὲ ἐπιβλαβὴς, εἰ καὶ οἰκεῖος, ξένος κρίνεται· παραδείγματος χάριν, ἡ μὲν νόσος, ἡ ἐν τῷ σώματι γινομένη, ἐπιβλαβὴς κρίνεται· ἡ δὲ ἰατρικὴ βοτάνη, ἡ ἐν ἀγρῷ γινομένη, ἐπωφελής.

14. Ἐκεῖνος λέγεται οἰκεῖος, ὅς ἐστιν ἐπωφελής· ἐκεῖνος κρίνεται πατὴρ, ὅς ἐστι τροφεύς· ἐκεῖνος φίλος,

πρὸς ὅν ἐστι πίστις· ἐκείνη πατρὶς, ἐν ᾗ καλῶς ζῇ ὁ ἄνθρωπος.

15. Ἐκείνη ἐστὶ γυνὴ, ἥ ἐστιν ἐπιδέξιος εἰς τὰ τοῦ οἴκου ἔργα, ἱλαρὰ, φίλανδρος, φιλάρετος, ἀληθολόγος, καὶ χρηστολόγος.

16. Οὗτινος ἡ γυνὴ καθαρά ἐστιν, ἐπιδέξιος, εὐπειθὴς, ἡδέα βρώματα κατασκευάζουσα, ταπεινοφρονοῦσα, καὶ οἰκουροῦσα, οὗτός ἐστιν εὐδαίμων.

17. Οὗτινος ἡ γυνή ἐστιν ἀγριωπὸς, βδελυρὰ, φίλερις, κακολόγος, καὶ σκληρὰ, οὗτός ἐστι κακοδαίμων.

18. Ὥσπερ θάνατός ἐστι ταῦτα· γυνὴ κακὴ, φίλος διάστροφος, δοῦλος αὐθάδης εἰς ἀπόκρισιν, καὶ οἴκησις ἐν οἴκῳ, ἔνθα ὄφις ἐμφωλεύει.

19. Τὸν μὲν πλοῦτον φύλαττε εἰς ἀπαλλαγὴν τοῦ συμβάντος κακοῦ· τὴν δὲ γυναῖκα διαφύλαξον δι' ἐγκαταλείψεως τοῦ πλούτου· σεαυτὸν δὲ διαφύλαξον δι' ἐγκαταλείψεως καὶ πλούτου καὶ γυναικὸς ὁμοῦ.

20. Εἰς μὲν διατήρησιν καὶ σωτηρίαν ὅλης οἰκίας ἀποβαλέτω ὁ βασιλεὺς ἕνα οἰκήτορα κακοποιόν· εἰς δὲ διατήρησιν ὅλης κώμης, ἀποβαλέτω μίαν οἰκίαν κακοποιάν· εἰς δὲ διατήρησιν ὅλης ἐπαρχίας, ἀποβαλέτω μίαν κώμην· εἰς δὲ διατήρησιν καὶ σωτηρίαν αὐτοῦ, ἀποβαλέτω πάντα.

21. Καθὼς ἐν τῷ περιπατεῖν διὰ μὲν τοῦ ἑνὸς ποδὸς ἵσταται, διὰ δὲ τοῦ ἑτέρου κινεῖται ὁ ἄνθρωπος, οὕτως ὁ φρόνιμος οὐκ ἐγκαταλείπει τὸν πρῶτον οἶκον, ὃν οἰκεῖ, πρὶν τοῦ ἐρευνῆσαι καὶ εὑρεῖν ἕτερον δεύτερον.

22. Τὸν μὲν φιλοχρήματον ἑλκύσει πρὸς ἑαυτὸν καὶ πειθήνιον ποιήσει ὁ ἄνθρωπος διὰ χρημάτων, τὸν

δ' ὑπερήφανον διὰ ταπεινώσεως, τὸν δὲ μωρὸν διὰ συγκατανεύσεως καὶ συναινέσεως, τὸν δὲ σοφὸν διὰ λόγου ἀληθοῦς καὶ ὀρθοῦ.

23. Οἱ μὲν θεοὶ, οἱ ἀγαθοὶ ἄνδρες, καὶ οἱ Βραχμᾶνες τέρπονται καὶ ἥδονται τῇ ἐκ καρδίας τιμῇ καὶ θεραπείᾳ· οἱ δὲ λοιποὶ τοῖς διδομένοις βρώμασι καὶ πόμασιν· οἱ δὲ σοφοὶ τῷ ὀρθῷ καὶ ἀληθεῖ λόγῳ.

24. Πειθήνιον ποιησάτω ὁ βασιλεὺς, τὸν μὲν ἰσχυρὸν καὶ μεγαλοπρεπῆ διὰ προσκυνήσεως, τὸν δ' ἀνδρεῖον καὶ σκληρὸν διὰ στρατηγήματος, τὸν δ' εὐτελῆ καὶ μικροπρεπῆ διὰ μικρᾶς δόσεως, τὸν δ' ἰσοδύναμον δι' ἴσης ἀνδραγαθίας.

25. Ἀκολουθήσας ὁ νουνεχὴς τῇ οἵᾳ δή τινι ἔχει γνώμῃ ὁ ἄνθρωπος, ταχέως αὐτὸν πειθήνιον ποιήσει.

26. Οὐ δεῖ πίστιν ἔχειν εἰς βασιλεῖς, εἰς γυναῖκας, εἰς ὁπλοφόρους ἄνδρας, εἰς κερατοφόρα καὶ ὀνυχοφόρα ζῶα, καὶ εἰς ποταμούς.

27. Ὁ ὢν νουνεχὴς, μὴ δημοσιευέτω τὴν χρηματικὴν ζημίαν, τὴν δυσθυμίαν, τὰς ἐν οἴκῳ ἀνοσιουργίας, τὴν λογομαχίαν, καὶ τὴν ἀτιμίαν.

28. Ὁ ὢν ἐχέφρων, μὴ δημοσιευέτω τὴν τελεστικὴν ἐπῳδὴν, τὴν ἰατρικὴν βοτάνην, τὴν ἀρετὴν, τὸ τοῦ οἴκου αἶσχος, τὴν συνουσίαν, τὸ λιτὸν βρῶμα, καὶ τὴν κακὴν φήμην.

29. Ἐν ᾗ τινι ἂν φυλῇ καὶ γενεᾷ γεννηθῇ ὁ ἄνθρωπος, τιμᾶται ἔχων ἀρετάς· π. χ. τί ποιήσει τὸ τόξον, τὸ ὂν μὲν ἐκ καλάμου καλοῦ καὶ ἐξαιρέτου, μὴ ἔχον δὲ χορδὴν (1);

---

(1) Τὸ πρωτότυπον πάνυ χαρίέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέ-

30. Ἐγκαταλιπέτω ὁ ἄνθρωπος γυναῖκα, ἄλλου ἐρῶσαν, καὶ βίον φερεκίνδυνον, καὶ δεσπότην φειδωλὸν, καὶ δόλιον φίλον.

31. Εἰ καὶ ἀρετήν τινα οὐκ ἔχει ὁ οἰκεῖος, βελτίων ὅμως ἐστὶ τοῦ ξένου· ὁ γὰρ ξένος, ξένος ἐστί· φέρ' εἰπεῖν, εἰ καὶ ἄνθη οὐκ ἔχει τὸ ἐν οἴκῳ δένδρον, ἔχει ὅμως ψυκτικὴν σκιάν.

32. Ἐν τίνος οἴκῳ οὐκ ἔστιν αἶσχος; τίνες λύπῃ οὐκ ἐθλίβησαν; τίσι πάθος οὐκ ἐγένετο; τίνι ἀδιάλειπτός ἐστι χαρά;

33. Οἱ γεννηθέντες ἐκ τῆς αὐτῆς γαστρὸς, καὶ ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ, οὐκ ἔχουσι τὴν αὐτὴν φύσιν, καθὼς αἱ ἄκανθαι καὶ ὁ καρπὸς τῆς Βαδαρῆς (1).

34. Αἱ αὐταὶ συλλαβαὶ καὶ αἱ αὐταὶ λέξεις προφέρονται ἐκ στομάτων ἁπάντων· ἡ ἀγλαΐα ὅμως τῆς προφορᾶς οὐκ ἔστιν ἐν ἅπασιν, ἀλλ' ἔν τισι.

35. Τί δυςβάστακτον τοῖς εὐτόνοις; τί δυςπόριστον τοῖς φιλοπόνοις; τίς ξένη γῆ τοῖς φιλολόγοις; τίς ἐχθρὸς τοῖς χρηστολόγοις;

36. Οἷόν ἐστι τὸ εἱμαρμένον, τοιοῦτος γίνεται καὶ ὁ νοῦς, καὶ ἡ γνώμη, καὶ τὸ βούλημα τοῦ ἀνθρώπου, τοιοῦτοι καὶ οἱ συμπράκτορες.

37. Τί ἂν ποιήσαιτο ὁ φρόνιμος ἄνθρωπος, ὃς ἐρεθίζεται ὑπὸ τῆς εἱμαρμένης; ἐκ γενέσεως γὰρ ὁ νοῦς τῶν ἀνθρώπων ἀκολουθεῖ τῇ εἱμαρμένῃ.

ξεις ὁ ποιητής. Γούννα γὰρ λέγεται πᾶσα ἀρετὴ, καὶ ἡ χορδή· Βάνσα δὲ λέγεται, ἥ τε γενεὰ καὶ ὁ κάλαμος.

(1) Τοῦτο τὸ δένδρον ἀκανθοφόρον ἐστὶ καὶ καρποφόρον.

38. Οὐ ἔστιν ἄλλος φίλος, ὡς ἡ μάθησις· οὐκ ἔστιν ἄλλος ἐχθρὸς, ὡς ἡ νόσος· οὐκ ἔστιν ἄλλη ἀρετὴ, ὡς ἡ ἀλήθεια· οὐκ ἔστιν ἄλλη σκληραγωγία καὶ ἐγκράτεια, ὡς ἡ δόσις.

39. Οὐκ ἔστιν ἄλλο φιλικὸν, ὡς ἡ ὑγιεία· οὐκ ἔστιν ἄλλο ἐπαινετὸν, ὡς ἡ ἀρετή· οὐκ ἔστιν ἄλλο ἀγαπητὸν, ὡς τὸ τέκνον· οὐκ ἔστιν ἄλλο ὀδυνηρὸν, ὡς ἡ πεῖνα.

40. Καθὼς τὸ εὐῶδες ἄνθος τῆς Κεταχῆς αἶσχος καὶ ὄνειδος ἔχει, ἔχον περὶ ἑαυτὸ ἀκάνθας, οὕτω καὶ ὁ ἀγαθὸς, ἔχων περὶ ἑαυτὸν κακοὺς καὶ δυςτρόπους.

41. Εἰς πᾶν μέρος διασπείρονται, ὡς ἀγγελιαφόροι, αἱ ἀρεταὶ τῶν ἀγαθῶν ἀνδρῶν, εἰ καὶ πόῤῥω διατρίβουσι· παραδείγματος χάριν, οἱ βομβύλιοι, πόῤῥωθεν ὀσφρανθέντες τῆς εὐωδίας τῆς Κεταχῆς, αὐτοὶ αὐτῇ προσφοιτῶσιν.

42. Οὗ τινος ἡ μὲν ἄρουρα κεῖται παρὰ τῇ ὄχθῃ ποταμοῦ, ἡ δὲ γυνὴ ἄλλῳ πρόσκειται, ὁ δ' οἶκος ἐμφωλεύοντα ἔχει ὄφιν, τούτῳ πῶς ἂν ἄνεσις εἴη;

43. Οὐ διαμένουσι διὰ πολλοῦ τὰ δένδρα, τὰ ὄντα παρὰ τῇ ὄχθῃ ποταμοῦ, καὶ ἡ γυνὴ, ἡ οὖσα ἀκάθεκτος καὶ ἀχαλίνωτος, καὶ ὁ βασιλεὺς, ὁ ὢν ἄνευ συμβούλου.

44. Οὐκ ἔστιν ἄλλη ἐγκράτεια ὁμοία τῇ ἀνοχῇ· οὐκ ἔστιν ἄλλη ἄνεσις ὁμοία τῇ ὀλιγαρκείᾳ· οὐκ ἔστιν ἄλλη δόσις ὁμοία τῇ εὐσπλαγχνίᾳ· οὐκ ἔστιν ἄλλος φόβος ὅμοιος τῷ τῆς ζωῆς φόβῳ.

45. Ἐγκαταλιπέτω ὁ ἄνθρωπος τὸν τόπον ἐκεῖνον, ἔνθα οὐκ ἔστιν οὔτε τιμὴ, οὔτε πόρος ζωῆς (τῶν πρὸς ζωὴν), οὔτε οἰκεῖοι, οὔτε κτῆσις μαθήσεως.

46. Οὐ δεῖ οἰκεῖν ἐν ἐκείνῃ τῇ χώρᾳ, ἔνθα ἐστὶν ἀναρχία, ἡ πολυαρχία, ἡ γυναικοκρατία, ἡ παιδοκρατία·

47. Ἐκεῖνός ἐστιν οἰκεῖος, ὃς ἵσταται, καὶ βοηθεῖ ἐν ἀσθενείᾳ, ἐν ἀτυχίᾳ, ἐν ἀφορίᾳ, ἐν μάχῃ ἐχθροῦ, ἐν τῇ βασιλικῇ αὐλῇ, καὶ ἐν τῷ νεκρικῷ τόπῳ.

48. Ἡ μὲν βρῶσις τῶν γυναικῶν διπλασίων ἐστὶν, ἡ δ' αἰδὼς τετραπλασίων, ἡ δ' ἐργασία ἑξαπλασίων, ὁ δ' ἐρωτικὸς οἶστρος ὀκταπλασίων.

49. Φυσικά ἐστι ταῖς γυναιξὶ ταῦτα τὰ κακὰ, τὸ ψεῦδος, τὸ ῥιψοκίνδυνον, τὸ ἀπατηλὸν, τὸ πλεονεκτικὸν, τὸ ἀνόητον, τὸ ἀκάθαρτον, καὶ τὸ ἄσπλαγχνον.

50· Οὐκ ἂν καταβάλοι τις οὔτε τὸν ὕπνον διὰ τῆς ὑπνώσεως, οὔτε τὴν γυναῖκα διὰ τῆς σαρκικῆς μίξεως, οὔτε τὸ πῦρ διὰ τῆς ἐπιθέσεως ξύλων, οὔτε τὴν φιλοχρηματίαν διὰ τῆς χρηματολογίας.

51. Ὁ μὲν ποταμὸς καθαιρεῖ τὴν ὄχθην, ἡ δὲ γυνὴ τὴν οἰκίαν· καθὼς δὲ ἡ τῶν ποταμῶν ὁρμὴ ἀκάθεκτός ἐστιν, οὕτω καὶ ἡ τῶν γυναικῶν.

52. Οὐκ ὀλίγης σκληραγωγίας καρπός ἐστι ταῦτα· βρώματα πολυειδῆ, καὶ ὄρεξις βρώσεως· γυνὴ καλὴ, καὶ εὐρωστία· πλοῦτος, καὶ κλίσις εἰς μετάδοσιν.

53. Συζευξάτω ὁ ἄνθρωπος τὴν μὲν θυγατέρα ἀνδρὶ ἐκ γένους ἀγαθοῦ, τὸν δὲ υἱὸν παιδείᾳ καὶ μαθήσει, τὸν δ' ἐχθρὸν κακοῖς ἤθεσι, τὸν δὲ φίλον χρηστοῖς.

54. Τὸ μὲν τέλος τῶν Βεδῶν ἐστιν, ἡ πυρολατρεία· τὸ δὲ τέλος τοῦ πλούτου, ἡ ἀπόλαυσις καὶ μετάδοσις· τὸ δὲ τέλος τῆς γυναικὸς, ἡ σαρκικὴ ὁμιλία καὶ τεκνογονία· τὸ δὲ τέλος τῆς μαθήσεως, ἡ καλὴ διαγωγή.

55. Οὐκ ἔστι φιλία μετὰ βασιλέως ἀπήμαντος· οὐκ

ἔστιν ὄφις οὐδαμοῦ ἀφάρμακος· οὐκ ἔστιν οἶκος ἄμωμος, ἔνθα οἰκεῖ θήλεια.

56. Καθὼς τὰ κοσμήματα τίθενται ἐν ἁρμόζουσι τόποις, οὕτω καὶ τοὺς ὑπηρέτας δεῖ τιθέναι ἐν ἁρμόζουσιν ἔργοις· παραδείγματος χάριν, ἡ τῇ κεφαλῇ ἁρμόζουσα λίθος, οὐκ ἀγλαΐζεται, τιθεμένη ἐπὶ τοῦ ποδός.

57. Μεγάλη διαφορά ἐστι τῶν ἵππων, τῶν ἐλεφάντων, τῶν ὅπλων, τῶν ξύλων, τῶν λίθων, τῶν ἱματίων, τῶν γυναικῶν, τῶν ἀνδρῶν καὶ τῶν ὑδάτων.

58. Καθὼς ἡ ἐν τῷ ποδὶ πεπηγυῖα ἄκανθα ἐξάγεται (ἐξαιρεῖται) δι' ἑτέρας ἀκάνθης ἐν χειρὶ, οὕτω καὶ ὁ ἐχθρὸς ἀναιρεῖται δι' ἑτέρου ἐχθροῦ, φιλιωθέντος.

59. Καθὼς τὰ ἐν τῇ ὄχθῃ τοῦ ποταμοῦ δένδρα, αὐτὰ καθ' ἑαυτὰ πίπτουσιν, οὕτω καὶ ὅσοι ποιοῦσι κακὰ μεγάλα, αὐτομάτως πίπτουσι, καὶ ὄλλυνται.

60. Δεινῶν τυχόντες οἱ καρτερικοὶ, οὐ γίνονται περίλυποι· ἆρα ἡ σελήνη, εἰςελθοῦσα εἰς τὸ στόμα τοῦ Ῥαχοῦ, οὐκ ἀνατέλλει πάλιν;

61. Ὦ τινί ἐστι ταῦτα τὰ ἕξ, φιλοπονία, καρτερία, ῥιψοκινδυνότης, ῥώμη, νοῦς (ἀγχίνοια), καὶ ἀνδρεία, τοῦτον καὶ ὁ θεὸς φοβεῖται.

62. Οἱ τοῦ βασιλέως ὑπηρέται, ὧν τὰ χαρακτηριστικὰ σημεῖα ἐρῶ, προσαρμοζέσθωσαν κατ' ἀξίαν τοῖς προσήκουσιν ἔργοις.

63. Ὅστις γινώσκει τὸ νόημα τοῦ νεύματος καὶ τοῦ σχήματος καὶ τὰ τῆς καρδίας τοῦ ἀνθρώπου, καὶ νήφων ἐστὶ καὶ ἐπιδέξιος, οὗτος λέγεται θυρωρὸς ἄξιος βασιλέως.

64. Ὅςτις ἐστὶ συνετὸς, φρόνιμος, καλλιεπὴς, ἐπιτήδειος εἰς πᾶν πρᾶγμα, καρτερικὸς καὶ ἀληθοεπὴς, οὗτός ἐστιν ὑπηρέτης ἄξιος βασιλέως.

65. Ὅςτις ἐστὶν ὀλιγαρκὴς, ταχυγράφος, καλλιγράφος, εἰδήμων πάσης μαθήσεως, καὶ ἀντιληπτικὸν νοῦν ἔχει, οὗτός ἐστι γραμματεὺς ἄξιος βασιλέως.

66. Ὅςτις ἐστὶ γεγυμνασμένος πᾶν εἶδος ὅπλων, καὶ εἰδήμων τῆς ἱππικῆς, ἀνδρεῖός τε καὶ ῥωμαλέος, οὗτός ἐστι στρατηγὸς ἄξιος.

67. Ὅςτις εἶχε πατέρα καὶ πάππον, ἔχοντας τὴν αὐτὴν ἐπιστασίαν, καὶ γινώσκει τὴν μαγειρικὴν τέχνην, καὶ βρώματα ἕψει ἡδέα, καὶ καθάριός ἐστι, καὶ πιστὸς, οὗτός ἐστι μάγειρος ἄξιος βασιλέως.

68. Ὅςτις ἐστὶ γεγυμνασμένος τὴν ἰατρικὴν, καὶ ἔμπειρος πάσης μαθήσεως, καὶ γινώσκει πάντα τὰ πάθη καὶ πάντα τὰ φάρμακα, καὶ εὐειδής ἐστι, καὶ καλοκἄγαθος, οὗτος ἰατρός ἐστιν ἄξιος βασιλέως.

60. Ὅςτις οἶδε τὰ τῆς Βέδας, καὶ πᾶσαν ἐπιστήμην ἐπίσταται, καὶ προσεύχεται, καὶ θύει, καὶ φιλεῖ εὔχεσθαι καὶ εὐλογεῖν ἀεὶ, οὗτός ἐστιν ἱερουργὸς ἄξιος βασιλέως.

70. Ὅςτις γράφει, καὶ ἀναγινώσκει, καὶ ἀριθμεῖ, καὶ καλῶς διερμηνεύει, καὶ φυλάττει ἀπόῤῥητα τὰ μυστικὰ, καὶ γινώσκει τὰ ὄντα, καὶ τὰ τοῦ χρόνου, καὶ τὰ τῆς τύχης, οὗτός ἐστιν ἀστρολόγος ἄξιος βασιλέως.

71. Ὅςτις πατέρα εἶχε καὶ πάππον, τὸ αὐτὸ ἐπάγγελμα ἔχοντας, καὶ γινώσκει ἐντελῶς τὰ τοῦ νόμου, καὶ τὸν καιρὸν τῆς εἰρήνης καὶ τοῦ πολέμου, οὗτός ἐστι βουλευτὴς ἄξιος βασιλέως.

72. Ὅστις εἶχε πατέρα καὶ πάππον, τὸ αὐτὸ ἐπάγγελμα ἔχοντας, καὶ κριτής ἐστι τῶν πολυτίμων λίθων, καὶ καθαρὸς τὴν καρδίαν, καὶ ἀμετάτρεπτος τὸν νοῦν, οὗτός ἐστι σκευοφύλαξ ἄξιος βασιλέως.

73. Ὅστις ἐστὶν ἐκ γένους καλοῦ, καὶ χρηστὰ ἔχει ἤθη καὶ ἀρετὰς, καὶ ἀληθολόγος ἐστὶν, ἔμπειρός τε καὶ ἐπιδέξιος, καὶ γινώσκει τὸν προσήκοντα καιρὸν πάντων τῶν βασιλικῶν πραγμάτων, οὗτός ἐστιν ὕπαρχος ἄξιος βασιλέως.

74. Ἔμφρονος βουλευτοῦ διαταχθέντος, τρία ἀγαθὰ γίνονται τῷ βασιλεῖ· εὐφημία, πολλὴ πρόσοδος, καὶ ἐν οὐρανῷ οἴκησις.

75. Ἄφρονος βουλευτοῦ διαταχθέντος, τρία κακὰ γίνονται τῷ βασιλεῖ· δυσφημία, ἀπότευξις τοῦ οὐρανοῦ, καὶ βεβαία εἰς Ἅδην πτῶσις.

76. Οὐ δεῖ χειροτονεῖν βασιλέα, ὅς ἐστι σκληρὸς, κακοήθης, πλεονεκτικὸς, ἄτακτος, ἀχρεῖος, μωρὸς, καὶ ποιεῖ πᾶν ἔργον ἀκρίτως.

77. Ὅ,τι δήποτε ποιεῖ ὁ βασιλικὸς ὑπηρέτης, εἴτε ἀγαθὸν, εἴτε κακὸν, τούτου ὁ βασιλεὺς μετέχει (εἰς τὸν βασιλέα ἀναφέρεται), καὶ τὸν καρπὸν τῆς κακίας καὶ τῆς ἀρετῆς ἀπολαμβάνει.

78. Ὅθεν περισκεψάμενος πολλάκις ὁ βασιλεὺς, τὸν μὲν χρηστὸν καὶ ἄξιον ἁρμοζέτω τῷ προσήκοντι ἔργῳ, τὸν δὲ ἀχρεῖον καὶ ἀνάξιον ἀποβαλλέτω.

79. Οἱ βασιλικοὶ ὑπηρέται πολυειδεῖς εἰσι, δηλονότι καὶ πρῶτοι, καὶ μέσοι, καὶ ἔσχατοι· οὗτοι τοίνυν ἁρμοζέσθωσαν κατ' ἀξίαν τοῖς προσήκουσιν ἔργοις.

80. Τῷ μὲν σοφῷ ἀνδρὶ ἅπασαί εἰσιν αἱ ἀρεταί· τῷ

δὲ βαρβάρῳ κακίαι μόνον· διὰ ταῦτ' ἄρα ἐν χιλίοις βαρβάροις μόλις εἷς ἔμφρων εὑρίσκεται.

81. Ἀφέτω ὁ ἄνθρωπος δεσπότην λίαν χαλεπόν· πλέον δὲ τοῦ χαλεποῦ τὸν φειδωλόν· πλέον δὲ τοῦ φειδωλοῦ τὸν μὴ ποιοῦντα διαφορὰν τοῦ καλοῦ καὶ τοῦ κακοῦ· πλέον δὲ τούτου τὸν ἀποδοκιμάζοντα τὸ καλῶς πεπραγμένον.

82. Ἀποσκορακισθήτω ὁ κακὸς ἄνθρωπος, εἰ καὶ μαθήσεσίν ἐστι κεκοσμημένος· μῶν οὐκ ἔστι φερεκίνδυνος ὁ ὄφις, ὁ πολυτίμοις λίθοις κεκοσμημένος;

83. Ὅςτις τῶν βασιλέων οὐκ ἀναιρεῖ τὸν ἑαυτοῦ ὑπηρέτην, τὸν ὄντα ἰσόπλουτον καὶ ἰσοδύναμον, καὶ φιλόπονον, καὶ γινώσκοντα τὰ καίρια, καὶ τὸ ἥμισυ τῆς βασιλείας ἁρπάξαντα, οὗτος ἀναιρεῖται ὑπ' ἐκείνου.

84. Βέλτιόν ἐστιν οἰκεῖν καὶ ἐν εἱρκτῇ μετ' ἀνδρῶν σοφῶν, ταπεινῶν, ἐννόμων, καὶ ἀληθολόγων, ἢ ἐν οἰκίᾳ βασιλικῇ μετὰ πονηρῶν καὶ διαστρόφων.

85. Τὸ ὀλίγον δι' ὀλίγου αὐξάνει· οἷον τὸ μέλι, ὁ χρόνος, ἡ σελήνη ἐν τῇ αὐξήσει, ὁ θησαυρὸς τοῦ βασιλέως, καὶ τὸ ἐξ αἰτήσεως συναγόμενον.

86. Ὁ κακὸς ἄνθρωπος τὰ μὲν σφάλματα τῶν ἄλλων βλέπει, ἅπερ μικρά εἰσιν, ὡς τὸ σίνηπι· τὰ δὲ ἑαυτοῦ σφάλματα, ἅ εἰσι μεγάλα, ὡς ἡ Βίλβα, καίτοι βλέπει, οὐ βλέπει.

87. Οὐ δεῖ πίστιν ἔχειν οὐ μόνον εἰς ἐχθρὸν, ἀλλὰ καὶ εἰς φίλον· ἐκ γὰρ τοῦ φίλου, εἰς ὃν πίστις ἐστὶν, ὁ ἐξερχόμενος κίνδυνος παντελῆ ὄλεθρον ποιεῖ.

88. Καὶ ἐκ φαρμάκου ὁ ἄνθρωπος λαβέτω τὴν ἀμβροσίαν· καὶ ἐξ ἀκαθάρτου πράγματος ἀναλαβέτω τὸν

χρυσόν· καὶ παρ' εὐτελοῦς μαθέτω μάθησιν καλήν· καὶ γυναῖκα καλὴν γημάτω, εἰ καὶ δυσμενής ἐστι.

89. Καὶ ὁ ὄφις, σκληρός· καὶ ὁ κακότροπος, σκληρός· (σκληρὸς ὁ ὄφις· σκληρὸς καὶ ὁ κακότροπος)· σκληρότερος ὅμως τοῦ ὄφεώς ἐστιν ὁ κακότροπος· ὁ μὲν γὰρ ὄφις ἐξευμενίζεται καὶ ἐξιλεοῦται τῇ ἐπῳδῇ καὶ τῇ βοτάνῃ· ὁ δὲ κακότροπος οὐδαμῶς.

90. Οὐ δεῖ πίστιν ἔχειν οὐ μόνον πρὸς ἐχθρόν, ἀλλὰ καὶ πρὸς φίλον· θυμωθεὶς γάρ ποτε ὁ φίλος, πάντα τὰ μυστικὰ ἀνακαλύψει.

91. Ἀποσκορακισθήτω ὁ δόλιος ἄνθρωπος· οὐ γάρ ἐστιν ἄξιος πίστεως· ἐν μὲν γὰρ τῇ γλώσσῃ αὐτοῦ μέλι ἐστίν· ἐν δὲ τῇ καρδίᾳ δηλητήριον φάρμακον.

92. Τρία ἐστὶ τὰ σημεῖα τοῦ δολίου· τὸ μὲν πρόσωπον αὐτοῦ ἀνθηρόν ἐστιν, ὡς ὁ λωτός, ἡ δὲ γλῶσσα ψυκτική, ὡς τὸ Σάνδανον, ἡ δὲ καρδία τμητική, ὡς ἡ ψαλίς.

93. Καὶ ἡ μήτηρ καὶ ὁ πατὴρ ἐχθροί εἰσι τῷ υἱῷ, ὃς οὐκ ἐπαιδεύθη, παῖς ὤν· ὁ γὰρ ἀπαίδευτος οὐκ ἀγλαΐζεται ἐν μέσῳ σπουδαίων ἀνδρῶν, καθὼς οὐδὲ ὁ λάρος ἐν μέσῳ χηνῶν.

94. Ἐν μὲν πέντε ἔτεσι θωπευέτω τὸν υἱὸν ὁ πατήρ· ἐν δὲ δέκα ἔτεσι παιδευέτω· ὅταν δ' ὁ υἱὸς ἀφίκηται εἰς ἑκκαίδεκα ἔτη ἡλικίας, χρήσθω αὐτῷ ὁ πατήρ, ὡς φίλῳ.

95. Ὅ,τε υἱὸς καὶ ὁ μαθητὴς παιδευέσθω, ἀλλὰ μὴ θωπευέσθω· ἐκ μὲν γὰρ τῆς θωπείας πολλαὶ κακίαι γίνονται· ἐκ δὲ τῆς παιδείας πολλαὶ ἀρεταί.

96. Ἐπικερδῆ ποιήτω τὴν ἡμέραν ὁ ἄνθρωπος διὰ

τοῦ μανθάνειν ἢ διδάσκειν ἕνα γοῦν στίχον, ἢ ἡμίςιχον, ἢ πόδα ἕνα τοῦ στίχου, ἢ καὶ μίαν λέξιν.

97. Τί ὄφελος ἐκ μεγάλου γένους τῷ ὄντι ἀμοίρῳ παιδείας; ὅςτις γάρ ἐστιν εὐπαίδευτος, οὗτος, εἰ καὶ ἀγενὴς (δυςγενὴς), τιμᾶται οὐ μόνον ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ὑπὸ θεῶν.

98. Οἱ ὄντες νέοι μὲν καὶ εὐειδεῖς, ἄμοιροι δὲ παιδείας, οὐκ ἀγλαΐζονται, καθὼς οὐδὲ τὰ λαμπρὰ ἄνθη τοῦ δένδρου Παλάσσα, τὰ μὴ ὄντα εὔοσμα.

99. Ἡ μὲν σελήνη λαμπρύνει τὴν νύκτα, ὁ δ' ἥλιος τὴν ἡμέραν, ὁ δὲ νόμος πάντα τὸν κόσμον, ὁ δὲ καλὸς υἱὸς λαμπρύνει τὸν οἶκον τὸν πατρικόν.

100. Καθὼς ὁ οὐρανὸς ἀγλαΐζεται καὶ λαμπρύνεται διὰ μιᾶς σελήνης, οὕτω καὶ ὁ οἶκος δι' ἑνὸς καὶ μόνου καλοῦ υἱοῦ, γεννηθέντος.

101. Καθὼς ὅλον τὸ ἄλσος εὐωδίας πληροῦται δι' ἑνὸς φυτοῦ ἀνθοφόρου καὶ εὐώδους, οὕτω καὶ ὁ οἶκος εὐφημίας πληροῦται δι' ἑνὸς καλοῦ υἱοῦ.

102. Καθὼς ὅλη ἡ ὕλη κατακαίεται ὑφ' ἑνὸς δένδρου, πυρὶ καιομένου, οὕτω καὶ ἡ οἰκία καταπυρπολεῖται ὑφ' ἑνὸς κακοῦ υἱοῦ.

103. Τί ὄφελος ἐκ πολλῶν γεννηθέντων υἱῶν, οἳ λύπην καὶ θλίψιν διδόασι (τοῖς γονεῦσι); λυσιτελέστερος εἷς, ἐφ' οὗ ἐπιστηρίζεται καὶ ἐπαναπαύεται οἶκος.

104. . . . . (1)

105. Οὗ τινος ὄνομα ἐπίσημον οὐκ ἔστιν ἐπὶ φι-

(1) Ὁ παράγραφος οὗτος καθὼς καὶ οἱ λοιποὶ, οἱ διὰ ςιγμῶν σημειούμενοι, παρελείφθησαν ὑπὸ τοῦ ἀοιδίμου Μεταφραςοῦ. (Σημ. τῶν ἐκδοτῶν).

λοδωρίᾳ, ἐγκρατείᾳ, ἀνδρείᾳ, μαθήσει, ἢ ἐπὶ χρημάτων κτήσει, οὗτος ἄχθους ἀνωφελοῦς πρόξενος ἐγένετο τῇ μητρί.

106. . . . .

107. Ἐκεῖνοι υἱοὶ, οἵ εἰσι φιλοπάτορες· ἐκεῖνοι γονεῖς, οἵ εἰσι τροφεῖς· ἐκεῖνος φίλος, εἰς ὅν ἐστι πίστις· ἐκείνη γυνὴ, ἐξ ἧς ἄνεσις καὶ χαρὰ τῷ ἀνδρί ἐστιν.

108. Οὗ τινος ἐν οἰκίᾳ οὔτε μήτηρ ἐστὶν, οὔτε γυνὴ χρηστολόγος, τούτῳ δεῖ πορευθῆναι εἰς ἔρημον· ἡ γὰρ τοιαύτη οἰκία ὡς ἡ ἔρημός ἐστι.

109. Καὶ ὁ μανθάνων, καὶ ὁ διδάσκων, καὶ ὅσοι φιλόλογοι, οὗτοι πάντες οὐ λέγονται σοφοὶ, ἀλλὰ σχολαστικοί· ὅςτις δὲ ποιεῖ τὰ ἅπερ μανθάνει, καὶ διδάσκει, οὗτος λέγεται σοφός.

110. Ἄλλοι μὲν ἀπόλλυνται ἐξ ἀγνωσίας, ἄλλοι δὲ ἐξ ἀκηδείας, ἄλλοι δὲ ἐξ ἀδιακρισίας· καὶ ἄλλοι διαφθείρονται ἐκ τῆς τῶν διεφθαρμένων ὁμιλίας.

111. Χρείας οὔσης καὶ ἀνάγκης, οὔτ' ἐκείνη ἡ μάθησις χρησιμεύει, ἥ ἐστιν ἐν βίβλοις, οὔτ' ἐκεῖνος ὁ πλοῦτος, ὅς ἐστιν ἐν ἄλλων χερσίν.

112. Εἰ καὶ μίαν λέξιν ἔμαθεν ὁ μαθητὴς παρὰ διδασκάλου, οὐκ ἔστι πρᾶγμά τι ἐν γῇ, ὅπερ δοὺς εἰς ἀνταμοιβὴν, ἔξω ὀφειλῆς ἔσεται.

113. Πέντε οὗτοι λέγονται πατέρες· ὁ γεννήσας, ὁ μυσταγωγήσας, ὁ διδάξας, ὁ ἀναθρέψας, καὶ ὁ ἐκ κινδύνου σώσας.

114. Σεβασμιώτερός ἐστι παντὸς ἄλλου, ὁ ἐλθὼν ξένος εἰς οἰκίαν καὶ μεγάλης φυλῆς, εἰ καὶ ἐκ τῆς ἐλαχίστης φυλῆς ἐστιν, εἴτε παῖς, εἴτε γέρων.

115. Ἡ μὲν Λαξμὴ σύνεστιν εὐήθει καὶ ἠλιθίῳ, ἡ δὲ Σαρασϐατὴ δυςγενεῖ καὶ εὐτελεῖ, ἡ δὲ σεμνὴ γυνὴ μοιχῷ καὶ λάγνῳ· ἡ δὲ νεφέλη ϐρέχει ἐν ὄρει (1).

116. Τί ὄφελος ἐξ ἐκείνου τοῦ πλούτου, ὃς συνελέγη ἐξ ἀδικίας; ἀποθανόντος γὰρ τοῦ ἀνθρώπου, ὁ οὐρανὸς οὐκ ἐπίκτητος γίνεται, εἰ καὶ ἅπας δοθήσεται.

117. Τὸ ὂν ἐν γῇ ὕδωρ, καθαρόν ἐστιν (2)· ἡ σώφρων καὶ φίλανδρος γυνή, καθαρά ἐστιν· ὁ φιλοδίκαιος ϐασιλεύς, καθαρός ἐστιν· ὁ δὲ παρθένος ἀεὶ καθαρός.

118. Καθὼς δεῖ ἀφορᾶν μετὰ προσοχῆς εἰς τὸ πρόσωπον μέλανος ὄφεως, οὕτω καὶ εἰς ταῦτα πάντα· εἰς τὴν γύμνασιν πῶν ὅπλων, εἰς τὴν πρᾶξιν τῶν τοῦ νόμου, εἰς τὴν παιδείαν, εἰς τὴν γεωργίαν, εἰς τὴν γυναῖκα, εἰς τὴν Λαξμὴν, καὶ εἰς τὸν ϐασιλέα.

119. Ὅςτις τοὺς ἀγαθοποιοῦντας ἀγαθοποιεῖ, τούτῳ ὁποία ἀρετή, ἢ ἔπαινος; ὅςτις δὲ τοὺς κακοποιοῦντας ἀγαθοποιεῖ, οὗτος ἀγαθὸς ὑπὸ τῶν ἀγαθῶν καλεῖται.

120. Οὔτε λίθοι πολύτιμοί εἰσιν ἐν ἑκάστῳ ὄρει, οὔτε μαργαρίται ἐν ἑκάστῳ ἐλέφαντι, οὔτ' ἀγαθοὶ ἐν παντὶ τόπῳ, ἢ Σάνδανον ἐν παντὶ δάσει.

121. Πρὸς μὲν τοὺς κακοὺς ὅ,τι ἂν ἀγαθὸν ποιήσῃ ὁ ἄνθρωπος, τοῦτο εὐθέως ἀφανίζεται, ὡς ἡ ἐν ὕδατι γραμμή· πρὸς δὲ τοὺς ἀγαθοὺς, κἂν μικρόν τι ποιήσῃ, τοῦτο διαμένει, ὡς ἡ ἐν πέτρᾳ γραμμή.

122. Οὐκ ἔστι μακρὰν ἡ κακὴ μοῖρα τοῖς πολλῇ

---

(1) Ταῦτα λέγονται ἐπὶ τῶν μὴ ἀξίων.

(2) Τὸ γὰρ ἐν ἀγγείῳ ἑτέρας φυλῆς ὕδωρ, ἀκάθαρτόν ἐστι παρ' Ἰνδοῖς.

λαιμαργίᾳ προσηλωμένοις, καθὼς καὶ τοῖς ἐν ὕδασιν ἰχθύσι, τοῖς ἠγκιστρωμένοις.

123. Ἀποβαλέτω ὁ βασιλεὺς ὑπηρέτην, ὅς ἐστιν ἀμελὴς, φλύαρος, ἠλίθιος, σκληρὸς, κακοήθης, μοχθηρὸς, ἄπληστος, καὶ ἄστοργος.

124. Ὅςτις ἐστὶν ἄμοιρος πλούτου, οὗτος οὐκ ἔστιν ἐνδεής· τίς γὰρ πλούσιος ἀσφαλής; ὅςτις δ' ἔστιν ἄμοιρος ἐπιστήμης ἢ τέχνης, οὗτός ἐστιν ἐνδεὴς πάντων.

125. Μαθέτω ὁ ἄνθρωπος ἓν ἦθος καὶ ἰδίωμα παρὰ τοῦ λέοντος, καὶ ἓν παρὰ τοῦ λάρου· παρὰ δὲ τοῦ ἀλέκτορος μαθέτω τέσσαρα· παρὰ δὲ τοῦ κολοιοῦ πέντε· παρὰ δὲ τοῦ κυνὸς ἕξ· παρὰ δὲ τοῦ ὄνου τρία.

126. Ὅ,τι ὁ ἄνθρωπος βούλεται ποιῆσαι, εἴτε μέγα, εἴτε μικρὸν, τοῦτο ποιείτω μετὰ πάσης σπουδῆς καὶ ἐπισπερχείας· τοῦτό ἐστιν ἦθος καὶ ἰδίωμα τοῦ λέοντος.

127. Ὁ φρόνιμος ἄνθρωπος, ἀνενεργήτους ἔχων τὰς αἰσθήσεις, ὡς ὁ λάρος, ποιείτω πᾶν ἔργον προσεκτικῶς ἐν ἁρμοδίῳ καιρῷ καὶ τόπῳ (1).

128. Παρὰ τοῦ Ἀλέκτορος μαθέτω ταῦτα τὰ τέσσαρα· τὸ ἐγείρεσθαι περὶ τὸν ὄρθρον, τὸ πολεμεῖν, τὸ διαδιδόναι τοῖς οἰκείοις πάντα τὰ τυγχάνοντα, καὶ τὸ ἔχειν ὑποκειμένην τὴν γυναῖκα δίκην ἀλεκτορίδος, ἐφ' ἧς ἀναβαίνει ὁ ἀλέκτωρ ἐν ὀχείᾳ (2).

---

(1) Ὁ Λάρος ἱστάμενος ἐν ὕδατι κατὰ τὴν ἡμέραν ἀκλονήτως, ἀτενῶς προσέχει εἰς ἰχθύων ἄγραν.

(2) Ὁ Ἀλέκτωρ ἐγείρεται περὶ τὸν ὄρθρον, καὶ φιλοπόλεμός ἐστι, καὶ διαδίδωσι ταῖς Ἀλεκτορίσι πᾶν ὅ,τι ἂν εὕρῃ βρώσιμον, καὶ ὑποβάλλει τὴν Ἀλεκτορίδα ἐν ὀχείᾳ.

129. Παρὰ δὲ τοῦ κολοιοῦ μαθέτω πέντε ἤθη καὶ ἰδιώματα, ἅ ἐστι ταῦτα· ἡ λαθραία συνουσία, ἡ τόλμα, ἡ κατασκευὴ τοῦ οἴκου ἐν καιρῷ, ἡ προσοχή, καὶ φυλακή, καὶ ἡ ἀπιστία, καὶ ὑποψία (1).

130. Ὁ κύων πολυφάγος ἐστὶν, ὀλιγαρκὴς (2), εὐκόλως (εὐθέως) ὑπνώττει, εὐκόλως (εὐθέως) ἐγείρεται, φιλοδέσποτός ἐστι, καὶ γενναῖος· ταῦτα τὰ ἓξ ἤθη καὶ ἰδιώματα μαθέτω παρὰ τοῦ κυνός.

131. Ὁ ὄνος, καίπερ κεκμηκὼς, βαρὺ φορτίον φέρει· ὑποφέρει καῦμα καὶ ψύχος, καὶ αὐτάρκης ἐστὶν ἀεί· ὅ,τι εὑρίσκει τρώγει· μαθέτω οὖν ὁ ἄνθρωπος καὶ παρὰ τοῦ ὄνου ταῦτα τὰ τρία ἤθη καὶ ἰδιώματα.

132. Ὅςτις τῶν βασιλέων κέκτηται ταῦτα τὰ εἰρημένα εἴκοσιν ἤθη καὶ ἰδιώματα, οὗτος νικήσει πάντας τοὺς ἐχθροὺς, καὶ ἀξιέπαινος ἔσεται ἐν κόσμῳ.

133. Οὐδεὶς οὐδενί τινι ἐκ φύσεως φίλος ἐστὶν ἢ ἐχθρός· φίλοι ἢ ἐχθροὶ γίνονται ἔκ τινος αἰτίας.

134. Ὑπὸ τίνος ἐποιήθη τοῦτο τὸ δισύλλαβον ὄνομα, φίλος, ὅ ἐστι γλυκὺ, ἐράσμιον, ἀποτρεπτικὸν λύπης καὶ φόβου, καὶ πρόξενον ἀγάπης καὶ πίστεως;

135. Φρόνιμός ἐστιν ἐκεῖνος, ὃς λέγει κατὰ τὸ προκείμενον καὶ κατὰ τὴν ὑπόθεσιν, καὶ πράττει κατὰ

---

(1) Ἡ συνουσία τῶν κολοιῶν λαθραία ἐστί· διὰ τοῦτο καὶ λέγουσιν, ὡς, ὅταν κατὰ τύχην ἴδῃ τις συνουσίαν κολοιῶν, ἀποθνήσκει. Οἱ κολοιοὶ ἐν Ἰνδίᾳ τολμηροί εἰσι καὶ ἁρπακτικοὶ, ὡς οἱ ἰκτῖνοι, καὶ κατασκευάζουσι τὰς καλιὰς ἐπὶ δένδρων, πρὶν τῆς ἐλεύσεως τῶν περιοδικῶν ὄμβρων· προσέχουσι δὲ φυλαττόμενοι, καὶ πίστιν οὐκ ἔχουσιν, ἀλλ' ὑποψίαν.

(2) Ὅτε ἔχει, τρώγει πολύ· ὅτε δ' οὐκ ἔχει, ἀρκεῖται τῷ ὀλίγῳ.

τὴν γνώμην τοῦ δεσπότου, καὶ ὀργίζεται κατὰ τὴν ἑαυτοῦ δύναμιν (1).

136. Ἡ μὲν γυνὴ διόλλυται ἐξ εὐμορφίας· ὁ δ' ἀσκητὴς καὶ ἐγκρατὴς ἐκ θυμοῦ· ἡ δὲ βοῦς διόλλυται νεμομένη πόῤῥω τῆς ἀγέλης· ὁ δὲ Βραχμὰν γευόμενος βρωμάτων ἐλαχίστης καὶ ἀκαθάρτου φυλῆς.

137. Εἰς οὐδὲν τίθενται τὸν κόσμον οὗτοι· ὁ πλούσιος, ὃς ἦν πρότερον πτωχός· ὁ σοφὸς, ὅς ἐστιν υἱὸς βαρβάρου πατρός· καὶ ὁ βασιλεὺς, ὃς κατάγεται ἐκ γένους ἐλαχίστου.

138. Τότε σωφροσύνη ἐστὶ ταῖς γυναιξὶν, ὅτ' οὐκ ἔστιν οὔτε τόπος ἰδιαίτερος, οὔτε καιρὸς ἁρμόδιος, οὔτ' ἀνὴρ λάγνος.

139. Οἷα ἔργα πράττει ἡ μήτηρ κρύβδην ἐν νεότητι, ταῦτα δῆλα γίνονται ὑπὸ τῶν υἱῶν, οἳ οὐκ εἰσὶ χρηστοήθεις καὶ εὔτακτοι.

140. Τοῦ μὲν κόκκυγος εὐμορφία ἐστὶν ἡ φωνή· τῆς δὲ γυναικὸς, ἡ σωφροσύνη· τῶν δὲ δυςμόρφων εὐμορφία ἐστὶν, ἡ μάθησις καὶ παιδεία· τῶν δ' ἀσκητῶν καὶ ἐγκρατῶν εὐπρέπειά ἐστιν, ἡ ἀνοχὴ καὶ ἱλαρότης.

141. Ἀπόφευγε τὴν διάβασιν μεγάλου ποταμοῦ διὰ κολυμβήματος, τὴν μάχην κατὰ τῶν ἀνδρειοτέρων, καὶ τὴν ἔχθραν κατὰ τῶν κρειττόνων (2).

142. Καθὼς τὸ γάλα, διδόμενον τοῖς ὄφεσιν εἰς πόσιν, οὐ καταβάλλει, ἀλλ' αὐξάνει τὸ φάρμακον αὐτῶν,

---

(1) Ὅςτις γὰρ ὀργίζεται κατὰ τῶν κρειττόνων ἄφρων ἐστί.

(2) Ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν. (Ἡσίοδ.)

οὕτω καὶ ἡ πρὸς τοὺς βαρβάρους συμβουλὴ οὐ καταπαύει, ἀλλ' ἐξάπτει μᾶλλον τὸν θυμὸν αὐτῶν.

143. Τοὺς μὲν ὑπηρέτας διαγίνωσκε ἐν ἀποστολῇ εἴς τι ἔργον, τοὺς δ' οἰκείους ἐν συμπεσοῦσι δεινοῖς, τοὺς δὲ φίλους ἐν συμφορᾷ καὶ ἀτυχίᾳ, τὴν δὲ γυναῖκα ἐν τῇ φθίσει τοῦ πλούτου.

144. Καθὼς ἡ μὴ μελετηθεῖσα (1) μάθησις φάρμακόν ἐστιν, οὕτω καὶ ἡ ἀμεληθεῖσα νόσος, καὶ ἡ σύνοδος τῷ πτωχῷ, καὶ ἡ νέα γυνὴ τῷ γέροντι.

145. Οὐ δεῖ χρῆσθαι ἀλλοτρίῳ ἐδέσματι (2), ἢ περὶ βολαίῳ, καὶ ἀλλοτρίᾳ κλίνῃ, ἕδρᾳ, ἢ γυναικὶ, οὐδ' οἰκεῖν ἐν ἀλλοτρίῳ οἴκῳ.

146. Οἱ μὲν ἔσχατοι καὶ εὐτελεῖς πλούτου μόνου ἐφίενται, οἱ δὲ μέσοι καὶ πλούτου καὶ τιμῆς, οἱ δ' ἄριστοι μόνης τιμῆς· ἡ γὰρ τιμὴ πλοῦτός ἐστι τοῖς μεγαλόφροσι.

147. Βλάπτουσι τὴν ζωὴν τὰ ἓξ ταῦτα· τὸ ξηρὸν κρέας, αἱ πρεσβύτεραι γυναῖκες, τὸ πρόσφατον ὀξύγαλα, ὁ ἐν τῇ Παρθένῳ τῷ ζῳδίῳ ἥλιος, καὶ ἡ περὶ τὸν ὄρθρον συνουσία καὶ ὕπνος.

148. Ἧτε ἐξ αἰγὸς καὶ ἐξ ὄνου κόνις, καὶ ἡ ἐκ σαρώθρου, καὶ ἡ τῆς λυχνίας καὶ τῆς κλίνης σκιὰ, αναιροῦσι τὰ προπεπραγμένα ἀγαθὰ ἔργα.

149. Καθαρά ἐστιν ἡ κόνις, ἡ ἐκ βασιλέως, ἡ ἐκ βοός, ἡ ἐξ ἐλέφαντος, ἡ ἐξ ἵππου, καὶ ἡ ἐξ ἀνθρώπων·

(1) Ἧς οὐκ ἐποίησε μελέτην καὶ γύμνασιν ὁ μαθητής.

(2) Παρασιτίᾳ.

ἀκάθαρτον δὲ γίνωσκε τὴν κόνιν, τὴν ἐξ ὄνου, ἐκ καμήλου, ἐξ αἰγὸς, καὶ προβάτου.

150. Ὁ ἐκ κοσκίνου ἄνεμος, καὶ τὸ ὕδωρ τῶν βεβρεγμένων ὀνύχων, καὶ τὸ τοῦ πλυνομένου ἱματίου, καὶ ἡ ἐκ σαρώθρου κόνις, καὶ τὸ τῆς βεβρεγμένης κόμης ὕδωρ ἀναιροῦσι τὰ προπεπραγμένα ἀγαθὰ ἔργα.

151. Μηδαμῶς ἔστω πίστις εἰς τὰς γυναῖκας, εἰς τοὺς βασιλεῖς, εἰς τοὺς ὄφεις, εἰς τὴν μάθησιν (1), εἰς τὸν κατ᾽ ἐχθρῶν πόλεμον, εἰς τὸ πῦρ, καὶ εἰς τὸν συκοφάντην.

152. Ἄν τις καθεύδῃ ἀμέριμνος, διαλλαγεὶς τοῖς ἐχθροῖς, οὗτος ὅμοιός ἐστι τῷ καθεύδοντι ἡδέως ἐπὶ κορυφῆς δένδρου, ὃς τότε αἴσθησιν λήψεται, ὅταν πέσῃ.

153. Μὴ ἔσο λίαν εὐθύς· πορεύθητι εἰς τὸ δάσος, καὶ ἰδέ· ἐκεῖ γὰρ ὄψει τὰ μὲν εὐθέα δένδρα κοπτόμενα, τὰ δὲ λοξὰ ἀφιέμενα, καὶ ἱστάμενα.

154. Μὴ ἔσο λίαν ἁπαλὸς καὶ πρᾶος· ὁ γὰρ ἁπαλὸς καὶ πρᾶος πανταχοῦ ἐνοχλεῖται καὶ λυμαίνεται· τίς, βλέπων τὴν ἁπαλὴν Καδαλὴν, οὐκ ἐπιβάλλεται κόπτειν αὐτήν;

155. Καθὼς τὰ καρπῷ βρίθοντα δένδρα κάμπτονται, οὕτω καὶ οἱ παιδείαν καὶ φρόνησιν ἔχοντες ἄνδρες· οἱ δὲ βάρβαροι οὐδαμῶς κάμπτονται, καθὼς καὶ τὰ ξηρὰ ξύλα.

156. Οἱ μὲν βάρβαροι ἐν τρυφῇ εἰσι καὶ ἡδυπαθείᾳ, ἐπειδὴ ἄμοιροί εἰσι τῆς γνώσεως καὶ τῆς τῶν παθῶν

(1) Ἔστω δηλονότι προσεκτικὸς καὶ νήφων, καὶ μελέτην ποιείτω τῆς μαθήσεως, ἧς ἔμαθε.

χαλιναγωγίας· οἱ δὲ σοφοὶ ἀπέχουσι τῆς ἡδυπαθείας καὶ τρυφῆς, ἐπειδὴ χαλιναγωγοῦνται τῇ γνώσει.

157. Μακάριοι, οἳ οὐ βλέπουσιν οὔτε τὴν πόρθησιν τῆς ἑαυτῶν πατρίδος, οὔτε τὴν αἰχμαλωσίαν τῆς ἑαυτῶν γενεᾶς, οὔτε τὴν οἰκείαν γυναῖκα ἐν χερσὶν ἀλλοτρίαις, οὔτε τὸν φίλον, ὄντα ἐν δεινοῖς.

158. Οὐκ ἔστιν ἄνεσις ἐν κακῷ ἀνθρώπῳ· οὐκ ἔστιν ἀγάπη ἐν κακῇ γυναικί· οὐκ ἔστι πίστις ἐν κακῷ φίλῳ· οὐκ ἔστι ζωὴ (1) ἐν κακῇ βασιλείᾳ καὶ τυραννίᾳ.

159. Οὐκ ἄνεσιν προξενεῖ τῷ φιλοτίμῳ τὸ μετ' ἀτιμίας κτηθὲν πρᾶγμα· ἡ γὰρ τιμὴ ῥίζα ἐστὶ τῆς ζωῆς τοῦ φιλοτίμου· ἀπούσης ἄρα τῆς τιμῆς, πόθεν ἄνεσις;

160. Καθὼς ὁ ἥλιος ἐρυθρός ἐστι καὶ ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, οὕτω καὶ ἡ χροιὰ καὶ διάθεσις μεγαλοφυοῦς ἀνθρώπου, ἡ αὐτή ἐστι καὶ ἐν εὐτυχίᾳ καὶ ἐν ἀτυχίᾳ.

161. Τοῦ μὲν βαρβάρου δύναμίς ἐστι τὸ βάρβαρον ἦθος· τοῦ δὲ κλέπτου δύναμίς ἐστι τὸ ψεῦδος· τοῦ δὲ ἀδυνάτου δύναμίς ἐστιν ὁ βασιλεύς· τοῦ δὲ παιδὸς δύναμις, ὁ κλαυθμός.

162. Μεγάλη ἄνεσίς ἐστι τῷ ἀφέντι τὴν κακὴν γυναῖκα, τὴν κακὴν χώραν, τὸν κακὸν βασιλέα, τὸν κακὸν οἰκεῖον, τὸν κακὸν συγγενῆ, καὶ τὸν κακὸν φίλον.

163. Ἡ θέα τοῦ φίλου, θεραπευτική ἐστι βοτάνη τῷ ἀῤῥώστῳ, τῷ ἀπόρῳ, τῷ ἀποδήμῳ, καὶ τῷ κατωδύνῳ.

164. Ἀπόβαλε φίλον τοιοῦτον, ὃς ἐμφανῶς μὲν

(1) Ἀσφάλεια ζωῆς.

ἐστι χρηστολόγος, ἀφανῶς δὲ ῥᾳδιουργός· οὗτος γάρ ἐστιν, ὡς μία στάμνος, ἣ ἐν μὲν τῇ γαστρὶ ἔχει φάρμακον, ἐν δὲ τῷ στόματι γάλα.

165. Ὁ ὢν ἐκ γένους καλοῦ καὶ φρόνιμος (εὐγενὴς καὶ εὔφρων), γημάτω γυναῖκα εὐγενῆ, εἰ καὶ δύςμορφός ἐστιν, ἀλλ' οὐκ ἀγενῆ· ἡ γὰρ ἐξ ὁμοίων ἐπιγαμία ἐραστή ἐστι, καὶ ἀρεστή.

166. Μὴ ἐχέτω αἰσχύνην ὁ ἄνθρωπος ἐν δανείοις χρήμασιν ἢ πράγμασιν, ἐν κτήσει παιδείας, ἐν βρώσει, καὶ ἐν συναλλαγῇ.

167. Οὐ γίνεται ἀξιωματικὸς, ὁ μὴ ὢν φιλόδοξος ἢ φιλοχρήματος, οὐδὲ φιλόκοσμος, ὁ μὴ ὢν ἐρωτικός· οὐ λέγει λόγους ἡδεῖς ὁ ἁπλοῦς· οὐδὲ ἀπατηλός ἐστιν, ὁ λέγων ὀρθὰ καὶ ἀληθῆ.

168. Βέλτιόν ἐστι πιεῖν δηλητήριον φάρμακον, ἢ ἰδεῖν τὸ σκυθρωπὸν καὶ κατηφὲς πρόσωπον τοῦ πλουσίου.

169. Ἀποβλητέος ὁ βάρβαρος, ὅς ἐστι τῷ ὄντι δίπουν ζῶον ἄλογον· καθὼς γὰρ ἡ ἀφανὴς ἄκανθα πλήττει τὸν πόδα, οὕτω καὶ αὐτὸς πλήττει τὴν καρδίαν λόγοις, ὡς ἥλοις.

170. Διαφόρους τέχνας καὶ μαθήσεις διδαχθήτωσαν οἱ υἱοὶ ὑπὸ τῶν ἐμφρόνων πατέρων· τυχόντες γὰρ γνώσεως καὶ κρίσεως, τίμιοι ἔσονται καὶ σεβάσμιοι.

171. Οἱ μαθόντες μάθησίν τινα παρὰ βιβλίου, ἀλλ' οὐ παρὰ διδασκάλου, οὐκ ἀγλαΐζονται ἐν συνόδῳ σπουδαίων ἀνδρῶν, καθὼς καὶ αἱ μονόφθαλμοι γυναῖκες.

172. Ὧ τινι νοῦς ἔμφυτος οὐκ ἔστι, τί ποιήσει τούτῳ ἡ μάθησις; παραδείγματος χάριν, τί ποιήσει τὸ κάτοπτρον τῷ ὄντι ἀμοίρῳ ὀφθαλμῶν;

173. Οὐκ ἔστι πίστις εἰς ὄφιν, εἰς ἐλέφαντα, εἰς συγγενικὸν ἐχθρὸν, εἰς ἀλλότριον πλοῦτον (χρήματα), εἰς ἀλλοτρίαν γυναῖκα, καὶ εἰς τὴν ἰδίαν γυναῖκα, ἢ κλίνει πρὸς ἄλλον ἄνδρα.

174. Ὅςτις ἔχει πίστιν εἰς γυναῖκας ἐξ ἀγνοίας ἢ φίλτρου, οὗτος ἔοικε τῷ καθεύδοντι ἐπὶ κορυφῆς δένδρου, ὃς, ὅταν πέσῃ, τότε ἀνανήψει.

175. Ποιείτω ὁ ἄνθρωπος κακὸν ἀντὶ κακοῦ, καὶ φόνον ἀντὶ φόνου· οὐ γὰρ νομίζω κακὸν, εἴτις κακὸν ἀντὶ κακοῦ ποιεῖ.

176. Ἡ εἰς γυναῖκας πίστις ἐκ φίλτρου ἢ ἐκ ῥαθυμίας, φθορὰ ἔσεται· ὅθεν μὴ ἐχέτω ὁ ἄνθρωπος πίστιν εἰς αὐτὰς, μηδὲ πίστωσιν λαμβανέτω παρ' αὐτῶν (1).

177. Ἐν τοσούτῳ δεῖ φοβεῖσθαι τὸν κίνδυνον, ἐν ὅσῳ μακράν ἐστι· παρόντα δὲ τὸν κίνδυνον ἰδὼν ὁ ἄνθρωπος, ἀποβαλέτω αὐτὸν ἀφόβως.

178. Τὸ ἐναπολειφθὲν μέρος τοῦ χρέους, τοῦ πυρὸς, καὶ τοῦ ἐχθροῦ, πάλιν κατ' ὀλίγον αὐξάνει· διά τοι τοῦτο ὁ ἄνθρωπος μὴ ἀφέτω λείψανόν τι τούτων.

179. Τῶν μὲν σοφῶν ὁ βίος διανύεται ἐν χρηστοηθείᾳ, φιλοσοφίᾳ, καὶ φιλολογίᾳ· τῶν δὲ βαρβάρων ἐν κακοηθείᾳ, φιλυπνίᾳ καὶ φιλονεικίᾳ.

180. Ὁ μὲν πατὴρ διατηρεῖ καὶ ἔχει ὑπ' ἐξουσίαν ἑαυτοῦ τὴν θήλειαν ἐν τῇ παιδικῇ ἡλικίᾳ, ὁ δ' ἀνὴρ ἐν τῇ νεακικῇ, ὁ δ' υἱὸς ἐν τῇ γεροντικῇ· ἡ γὰρ θήλεια οὐκ ἔστιν ἀξία αὐτεξουσιότητος.

181. Μὴ ἔστωσάν μοι τὰ χρήματα ἐκεῖνα, ἃ ἔρχον-

(1) Αἱ γυναῖκες οὐ καλοῦνται εἰς μαρτυρίαν, οὐ γὰρ ἀξιόπιστοί εἰσιν.

ται εἰς κτῆσιν διὰ πόνου πολλοῦ, καὶ διὰ παραβάσεως τοῦ νόμου, καὶ διὰ τῆς πρὸς ἄλλους προσκυνήσεως.

182. Ὕψους μεγάλου καὶ μεγαλοπρεπείας τυγχάνει, οὐχ ὅστις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, ἀλλ' ὅστις ἔχει μεγάλας ἀρετάς· ἆρα ὁ κόραξ, καθήμενος ἐπὶ κορυφῆς ὑψηλοῦ οἴκου, γίνεται ἀετός;

183. Μὴ ἐπιχειρείτω ὁ φρόνιμος, ὃ οὐ δύναται γενέσθαι· μηδὲ πραττέτω, ὃ οὐ δεῖ πράττεσθαι· μὴ ἀγαπάτω τὸ ἀνωφελές· μηδὲ λεγέτω τὸ ψευδές.

184. Ὁ φρόνιμος μετ' ὄφεων μὴ παιζέτω· μὴ ἀναβαινέτω ἐπὶ κορυφῆς δένδρου· μηδὲ διαβαινέτω διὰ κολυμβήματος, βαθεῖς καὶ μεγάλους ποταμούς.

185. Τὸν μὲν ἀγαπῶντα καὶ σεβόμενον, ἀγαπάτω καὶ σεβέσθω ὁ φρόνιμος· τὸν δὲ μὴ ἀγαπῶντα, μηδὲ σεβόμενον, μηδαμῶς· τοῦτο δὲ ἐμφανῶς φαίνεται ἐν κόσμῳ· «χεὶρ χεῖρα νίπτει».

186. . . . .

187. Τίνι γίνεται πᾶν ἀρεστὸν καὶ καταθύμιον; πᾶν γὰρ τῶν τοῦ κόσμου ὑπ' ἐξουσίαν ἐστὶ τῆς τύχης· αὐτάρκειαν ἄρα ἐχέτω ὁ ἄνθρωπος.

188. Μηδέποτε ἔστω πίστις εἰς ἐχθρὸν, εἰς βασιλέα, εἰς πῦρ, εἰς ὄφιν, εἰς κακὴν γυναῖκα, εἰς θηρία, εἰς ξιφηφόρους, καὶ εἰς βαρβάρους.

189. Ἀπόφευγε τὴν ὁμιλίαν τοῦ ἀναιδεστάτου ἀνθρώπου, τοῦ ἐχθροῦ, τοῦ ῥιψοκινδύνου, καὶ τοῦ ἐχθροῦ τοῦ βασιλέως.

190. . . . .

191. Ὁ φρόνιμος, ἀρκούμενος τοῖς παροῦσιν, οὐ

φροντίζει τοῦ μέλλοντος, ἀλλὰ ζῇ κατὰ τὸν ἐνεστῶτα χρόνον.

192. Ταῦτα πάντα ὁ φρόνιμος ἀποφεύγει· τὴν ἀστάθειαν, τὴν λαιμαργίαν, τὸν θυμὸν, τὸ ψεῦδος, τὴν διαβολὴν, τὴν ἔχθραν, καὶ τὴν οἴκησιν ἐν οἴκῳ ἀλλοτρίῳ.

193. Τὸ δηλητήριον φάρμακον, τὸ ἐξαχθὲν ἐκ τῆς περιδινήσεως τῆς γαλακτικῆς θαλάσσης, οὐκ ἀφίησι τὴν ἑαυτοῦ φύσιν καὶ ἐπὶ κακοῦ ἀνθρώπου, καὶ ἐπὶ ἀγαθοῦ (1).

194. Ἄνευ πόνου οὐ γίνονται χρήματα· τῷ δ' ἀμοίρῳ χρημάτων, πόθεν πράξεις νομικαί; τῷ δ' ἀμοίρῳ νομικῶν πράξεων, πόθεν ἀρετή; τῷ δ' ἀρετῆς ἀμοίρῳ, πόθεν ἄνεσις;

195. Ὧ τινι οὐκ ἔστιν οὐδὲ ἓν τῶν τεσσάρων γενικῶν ἀγαθῶν, ἅ ἐστι ταῦτα· ἡ ἀρετὴ, ὁ πλοῦτος, ἡ τρυφὴ, καὶ ἡ λύτρωσις, τούτου ἀνωφελής ἐστιν ἡ γέννησις, καθὼς ἡ τοῦ μαστοῦ ἐν τῷ λαιμῷ τῆς αἰγός.

196. Ὧ τινί ἐστιν ἔφεσις καὶ φροντὶς τῶν τοῦ νόμου, καὶ κλίσις μεγάλη εἰς δόσιν, τούτου ἡ γέννησις ἐπωφελής ἐστιν.

197. Οὗ τινος ἡ καρδία καθαρά ἐστι παντὸς πάθους, τούτῳ ὁ κόσμος (2) ἐπωφελής ἐστιν· ἐπωφελὴς δ' ἔστι καὶ ἡ τούτου ἔντευξις.

---

(1) Δηλ. ὁ ἐξ ἀγαθοῦ πατρὸς γεννηθεὶς κακὸς, δεικνύει τὴν ἑαυτοῦ κακίαν, καὶ πρὸς ἀγαθοὺς καὶ πρὸς κακούς.

(2) Δηλ. ἡ γέννησις ἐν κόσμῳ.

198. Ἀπόφευγε τὸν ὄνον, τὸν κύνα, τὸν ἐλέφαντα, τὸν μέθυσον, τὴν πολύλογον κόρην, τὸν κακὸν βασιλέα, καὶ τὸν κακὸν φίλον.

199. Τῆς μὲν ἁμάξης ἀφίστασο πέντε πήχεις, τοῦ δ' ἵππου δέκα, τοῦ δ' ἐλέφαντος ἑκατόν· τοῦ δὲ κακοῦ ἀνθρώπου ἔσο μακρὰν διὰ τῆς ἐγκαταλείψεως τοῦ τόπου.

200. Τί ποιήσειεν ἂν ὁ φρόνιμος ἄνθρωπος, ὁ ἀνδρεῖος, ἢ ὁ σοφὸς, ὅτε ἡ τύχη ἐναντία οὖσα, πᾶν ἔργον ἀλυσιτελὲς ποιεῖ;

201. Ὅστις υἱοὺς ἔχει φιλοπάτορας, καὶ γυναῖκα ὁμογνώμονα, καὶ ἀρκεῖται τοῖς οἷς ἔχει ἀγαθοῖς, τούτῳ ἐνταῦθά ἐστιν ὁ οὐρανός.

202. Νεοφανῆ πως εἰσὶ ταῦτα καθ' ἑκάστην καὶ ἐράσμια τῷ ἀνθρώπῳ· ἡ ἀνατολὴ τοῦ ἡλίου, τὸ ᾆσμα, ἡ Ταμβούλα, ἡ ἱστορία τῆς Μαχαβαράτας, ἡ ἀγαπητὴ γυνὴ, καὶ οἱ φίλοι.

203. Παρὰ τῷ φιλοπόνῳ οὔτε ἡ κορυφὴ τῆς Μερόης ὑψηλή ἐστιν, οὔτε ὁ καταχθόνιος κόσμος βαθὺς, οὔτε ἀπέραντον τὸ ἀχανὲς πέλαγος (1).

204. Καθὼς ὁ βομβύλιος, καθήμενος ἐπὶ τοῦ ἄνθους, λαμβάνει τὸ μέλι, οὕτω καὶ ὁ νουνεχὴς λαμβάνει τὸ κύριον παρὰ πάντων τῶν βιβλίων.

205. Ὅστις, τυχὼν ἀνθρωπείας φύσεως ἐν ταύτῃ τῇ γῇ τῶν πράξεων, οὐ ποιεῖ ἀγαθόν τι ἑαυτῷ, (γνωσιμαχήσει) οὗτος οὐ χαρήσεται μετέπειτα.

---

(1) Οὐδέν ἐστι δύσκολον καὶ δύσπρακτον τῷ φιλοπόνῳ· καὶ τὰ δύσκολα δηλ. εὔκολά ἐστι.

206. Ἐγὼ νεκρὸν νομίζω ἐκεῖνον τὸν ἄνθρωπον, τὸν ὄντα ἄμοιρον ἔργων ἀγαθῶν (1)· ὁ δ' ἀγαθοεργὸς, καί περ νεκρὸς ὢν, μακρόβιος ἔσεται (2).

207. Ὅςτις οὐκ ἔχει κλίσιν εἰς τὰ τοῦ νόμου, οὗτος, καίπερ γρηγορῶν, ὑπνῶν πως ἐστὶ, καὶ οὐ τυγχάνει τῶν ὧν ἐφίεται ἡ καρδία αὐτοῦ· πῶς δ' ἆρα τεύξεται τῆς ὑψίστης χώρας;

208. Ἐκείνη ἐστὶ θέμις, ἐν ᾗ οὐκ ἔστιν ἀθεμιστία· ἐκείνη ἐστὶν ἄνεσις, ἐν ᾗ οὐκ ἔστι θλίψις· ἐκείνη ἐστὶ γνῶσις, ἐν ᾗ οὐκ ἔστιν ἄγνοια· ἐκείνη ἐστὶν ἀπέλευσις, ἐν ᾗ οὐκ ἔστιν ἐπανέλευσις.

209. Ταῦτά εἰσι τὰ τοῦ νόμου· ἡ εἰς τὰ ἔμψυχα εὐσπλαγχνία, ἡ ἀλήθεια, ἡ ἀνοχὴ, ἡ καθαρότης, ἡ ὀλιγάρκεια, ἡ θεογνωσία, καὶ ἡ ἀπάθεια· τὰ δὲ τῆς ἀνομίας εἰσὶ τὰ ἐναντία.

210. Τῆς ἀρετῆς σημεῖά εἰσι ταῦτα· ἡ ἐγκράτεια, ἡ ἱλαρότης, ἡ ἐπιμέλεια, ἡ ἄσκησις, ἡ δόσις, ἡ ἀγαθὴ διάθεσις, ἡ θεωρία, καὶ ἡ ἀπάθεια.

211. Τῆς ἀρετῆς σημεῖά εἰσι ταῦτα· ἡ καθαρότης, ἡ εὐσπλαγχνία, ἡ δόσις, ἡ ἀποχὴ ἀλλοτρίου πράγματος, καὶ ἡ παρθενία, ἥ ἐστιν ἡ ῥίζα τῆς σκληραγωγίας.

212. Ἅπασαι αἱ δόσεις καὶ αἱ θυσίαι, καὶ αἱ σπονδαὶ, καὶ τὰ σφάγια φθίνουσιν· ἄφθιτος δ' ἔστιν ἡ μεγάλη δόσις, ἥ ἐστιν ἡ διδομένη ἀσφάλεια καὶ σωτηρία τοῖς ἐμψύχοις.

---

(1) Καὶ ζῶντος οὐδεὶς λόγος τοῦ κακοῦ ἀνθρώπου, ὥςπερ εἰ ἀπέθανε.

(2) Καὶ ἀποθανόντος τοῦ ἀγαθοῦ πολὺς λόγος παρ' ἀνθρώπων, ὥςπερ εἰ ἔζη.

213. Ὅστις ἔλεος ἔχει εἰς τὰ ἔμψυχα, ὑπὸ τούτου πᾶσι τοῖς θεοῖς λατρεία ἐγένετο, καὶ πᾶσα θυσία, καὶ λουτρὸν ἐν πᾶσι τοῖς ἁγιαστικοῖς ὕδασι.

214. Μὴ φροντιζέτω τῶν τῆς βρώσεως ὁ φρόνιμος, ἀλλὰ τῶν τοῦ νόμου· τὰ γὰρ τῆς βρώσεως προορίζονται ἅμα τῇ γεννήσει τῶν ἀνθρώπων.

215. Καρπὸν τῆς ἀρετῆς οἴδασιν οἱ σοφοὶ ταῦτα· τὴν βασιλείαν, τὴν εὐτυχίαν, τὴν τρυφὴν, τὴν γέννησιν ἐν λαμπρῷ γένει, τὴν καθαρότητα, τὴν λογιότητα, τὴν μακροβιότητα, καὶ τὴν ὑγιείαν.

216. Ἡ μὲν δόσις γίνεται ἀπαλλακτικὴ τῆς ἐνδείας· ἡ δ' ἀγαθὴ διάθεσις, ἀπαλλακτικὴ τῆς κακῆς καταστάσεως· ἡ δὲ γνῶσις, ἀπαλλακτικὴ τῆς ἀγνοίας· ἡ δὲ θεωρία, ἀπαλλακτικὴ τοῦ κόσμου.

217. Γνῶσις γίνεται διὰ δόσεως γνώσεως· ἀσφαλὴς γίνεται καὶ ἄφοβος ὁ ἄνθρωπος διὰ δόσεως ἀσφαλείας καὶ ἀφοβίας· ἄσμενος καὶ γηθόσυνος γίνεται διὰ τροφοδοσίας· διὰ δὲ τῆς ἰατρικῆς βοτάνης εὔρωστος καὶ ὑγιής.

218. Ἐκεῖνος βλέπει ὀρθῶς, ὃς βλέπει τὴν μὲν ἀλλοτρίαν γυναῖκα, ὡς μητέρα, τὸ δ' ἀλλότριον χρῆμα, ὡς βῶλον, τοὺς δὲ λοιποὺς ἀνθρώπους, ὡς ἑαυτόν.

219. Τὸ μὲν σῶμά ἐστι πρόσκαιρον, ὁ δὲ πλοῦτος ἐφήμερος, ὁ δὲ θάνατος ἀεὶ πλησίον· ἀρετὴν ἄρα κτάσθω ὁ ἄνθρωπος.

220. Οὗ τινος ὁ μὲν Κρισνᾶς ἐστι θεῖος, ὁ δ' Ἀρζούνας πατὴρ, οὗτος ὁ Ἀββιμανιοῦς κεῖται ἐν τῷ σταδίῳ τοῦ πολέμου· ὁ γὰρ θάνατος δυσκατάβλητος.

221. Τὰ μὲν χρήματα μένουσιν ἐν οἴκῳ· οἱ δ' οἰ-

κεῖοι ἀναστρέφουσιν ἐκ τοῦ νεκρικοῦ τόπου· τὸ δὲ πῦρ κατακαίει τὸ σῶμα· ὁ δ' ἀποθανὼν πορεύεται μετὰ τῶν ἀγαθῶν ἢ κακῶν ἔργων.

222. Οὔτε ἡ μήτηρ, οὔτε ὁ πατὴρ, οὔτε ὁ ἀδελφὸς, οὔτε ὁ υἱὸς ἢ ἡ θυγάτηρ, ἢ οἱ οἰκεῖοι, συμπορεύονται τῷ θανόντι, ἀλλὰ μόνα τὰ ἀγαθὰ ἔργα.

223. Τῷ ὄντι θυμήρης ἐστὶν ἡ γυνή· θυμήρης καὶ ὁ πλοῦτος· ἡ ζωὴ δ' ὅμως ἄστατός ἐστι, καθὼς τὸ ὀξυῤῥεπὲς βλέμμα τῆς ἐρωτικῆς γυναικός.

224. Τίνος ἐστὶ μήτηρ; τίνος πατήρ; τίνος υἱός; τίνος γυνή; ἐν ἄλλαις καὶ ἄλλαις γεννήσεσιν ἄλλοι καὶ ἄλλοι ἔσονται (1).

225. Εἰς τὸ δυςκαταγώνιστον στόμα τοῦ θανάτου εἰςῆλθον κἀκεῖνοι, οἱ ὄντες ἱκανοὶ ἀνεγεῖραι (ἀναβαστᾶσαι) τὴν γῆν, καὶ καταπιεῖν τὸν ἥλιον καὶ τὴν σελήνην.

226. Τὸ ἔργον οὐ καταναλίσκεται καὶ ἐν ἀπείροις αἰῶσιν, ἐὰν μὴ ἔλθῃ εἰς ἀπόλαυσιν ὁ καρπὸς αὐτοῦ· ἀφεύκτως γὰρ δεῖ ἀπολαβεῖν τὸν καρπὸν τῶν πεπραγμένων ἀγαθῶν ἢ κακῶν ἔργων.

227. Ἀφεύκτως γίνεται τὸ εἱμαρμένον καὶ τοῖς μεγαλοδυνάμοις, οἷον, τῷ μὲν Σίβα ἡ γυμνότης, τῷ δὲ Βισνοῦ ἡ κοίμησις ἐπ' ὄφεως μεγάλου.

228. Καίπερ ὢν παρὰ μεγάλοις ὁ ἄνθρωπος, καρποῦται οὐ πλέον τοῦ εἱμαρμένου· φερ' εἰπεῖν, ὁ ὄφις Βασουκής, καίπερ ὢν παρὰ τῷ λαιμῷ τοῦ Σίβα, ἀνεμοφάγος ἐστὶ καὶ ἀνεμόσαρκος.

229. Ὁ ἄνθρωπος αὐτὸς ποιεῖ τὰ ἔργα· αὐτὸς ἀπο-

---

(1) Δηλ. μητέρες, πατέρες, υἱοὶ κλπ.

λαμβάνει τὸν καρπὸν τῶν ἔργων· αὐτὸς ἐπανέρχεται πολλάκις εἰς τὸν κόσμον· καὶ αὐτὸς λυτροῦται τούτου τοῦ κόσμου.

230. Ἡ ἐν τῷ σώματι τῶν ἀνθρώπων ἀργία καὶ ἀμέλεια, ἐχθρός ἐστιν· οὐκ ἔστι δὲ φίλος ὅμοιος τῇ φιλεργίᾳ καὶ φιλοπονίᾳ, ᾗ χρώμενος ὁ ἄνθρωπος, οὐ βλάπτεται.

231. Καὶ οἱ θεοὶ ἅπαντες, ἑνωθέντες, οὐ δύνανται ἄλλως πως ποιῆσαι καὶ μετατρέψαι τὸ πεπρωμένον καὶ εἱμαρμένον.

232. Ἔξω τοῦ ὡρισμένου χρόνου οὐ θνήσκει ὁ ἄνθρωπος ἐν πολέμῳ φρικτῷ, κἂν μυρία βέλη ἔλθωσι κατ' αὐτοῦ· ἐλθόντος δὲ τοῦ χρόνου, καὶ ἐν μάχῃ μεθ' ἑνὸς παιδαρίου ἀπόλλυται.

233. Καθὼς ὁ μόσχος διαγινώσκει τὴν μητέρα ἐν χιλίοις δαμάλεσιν, οὕτω καὶ τὸ προπεπραγμένον ἔργον διαγινώσκει καὶ ἔρχεται πρὸς τὸν πράξαντα.

234. Ὅ,τι ἦν ἐν ἐθισμῷ ἐν ταῖς προτέραις γεννήσεσιν, εἴτε δόσις, εἴτε μάθησις, εἴτε ἄσκησις, τοῦτο πάλιν γίνεται ἐν τῇ παλιγγενεσίᾳ διὰ τοῦ συνημμένου ἐθισμοῦ (1).

235. Βέλτιόν ἐστι πλανᾶσθαι ἐν ὄρεσι μετ' ἀγρίων θηρίων, ἢ οἰκεῖν καὶ ἐν οἴκῳ τοῦ Ἴνδρα μετὰ βαρβάρων ἀνθρώπων.

236. Εἰ καὶ χιλιάκις διδαχθείη ὁ μωρὸς, ἡ μάθησις οὐκ ἔρχεται εἰς τὸ ἄκρον τῆς γλώσσης αὐτοῦ, καθὼς οὐδὲ τὸ ἐν τῇ χθαμαλῇ γῇ ὕδωρ εἰς τὴν ὑψηλήν.

---

(1) Καὶ τοῦτό ἐστι δόγμα.

237. Ὁ μὲν πλούσιος, εἰ καὶ ἀγενὴς, πανταχοῦ τιμᾶται· ὁ δ' ἄπλουτος, εἰ καὶ κατὰ τὸ γένος λαμπρός ἐστι, ὡς ἡ σελήνη, ἀτιμάζεται.

238. Ὧ τινί ἐστι χρήματα, τούτῳ εἰσὶ φίλοι, τούτῳ οἰκεῖοι· ᾧτινί ἐστι χρήματα, οὗτος εὐγενὴς, οὗτος εὐμαθής.

239. Οἱ μεγάλοι κατὰ τὴν ἡλικίαν, οἱ μεγάλοι κατὰ τὴν ἄσκησιν, καὶ οἱ μεγάλοι κατὰ τὴν μάθησιν, οὗτοι πάντες, ὡς δοῦλοι, ἵστανται πρὸ τῆς θύρας τοῦ μεγαλοπλούτου.

240. Πόνος ἐν κτήσει πλούτου· πόνος ἐν φυλακῇ κτηθέντος· πόνος ἐν τῇ συνάξει· πόνος ἐν τῇ ἀναλώσει· ὢ πλούτου, πόνῳ συμμίκτου!

241. Τοιαῦτά ἐστι τὰ σημεῖα τοῦ αἰτοῦντος, οἷα καὶ τοῦ ὄντος ἐν ἀγωνίᾳ θανάτου· ἀτονία εἰς κίνησιν, χθαμαλὴ φωνὴ, ἱδρὼς ἐν τῷ σώματι, καὶ μέγας φόβος.

242. Καὶ ἡ δυςτυχία τῶν πτωχευσάντων ἐκ πολυδωρίας ἀγλαΐζεται, καθὼς ὁ τετμημένος ὀδοὺς τοῦ ἐλέφαντος ἐν διαῤῥήξει ὄρους ἀξιέπαινός ἐστιν.

243. Οἱ μὲν Βραχμᾶνες διαγινώσκονται ἐκ τῆς ἐγκρατείας, οἱ δὲ Ξατραὶ ἐκ τῆς ξιφοφορίας, οἱ δὲ Βαϊσσέαι ἐκ τῆς εἰς τὴν γεωργίαν καὶ ἐμπορίαν φιλοπονίας, οἱ δὲ Σοῦδραι ἐκ τῆς θητείας καὶ ὑπουργίας.

244. Παντὶ τρόπῳ θεωρίαν δεῖ ποιεῖν τοῖς ἐπιθυμοῦσι μεγάλης ἀνέσεως καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι βίῳ· ἐκ γὰρ τῆς θεωρίας γνῶσις τοῦ Θεοῦ γίνεται.

245. Τῶν φυλαττόντων παρθενίαν τὸ τέλος ἐστὶν ἡ

πρὸς τὸν Θεὸν θεωρία· διαφθαρείσης δὲ τῆς παρθενίας, πᾶσα ἄλλη πρᾶξις ἀρετῆς ἀνωφελής ἐστιν.

246. Οὗ τινος ἡ καρδία ἐστὶν ἁπαλὴ διὰ τῆς πρὸς πάντα τὰ ἔμψυχα εὐσπλαγχνίας, τούτῳ ἐστὶ γνῶσις, καὶ λύτρωσις· τί δ' ὄφελος ἐκ πλοκάμων ἀσκητικῶν, καὶ σποδοῦ, καὶ ῥάκεων;

247. Ὅστις οὐκ ἀποδοκιμάζει τὰ ὑπὸ τὴν αἴσθησιν, οὐδὲ τὸν θυμὸν καταβάλλει, καὶ φιλήδονός ἐστι, τούτῳ τὸ ἀσκητικὸν σχῆμα, πόρος ἐστὶ τῶν πρὸς ζωήν.

248. Θὲς τὴν σεαυτοῦ ψυχὴν ἐν τῷ Θεῷ, ἀπηλλαγμένην πάσης νομικῆς πράξεως· αὕτη ἐστὶν ἡ θεωρία καὶ θεογνωσία· τὰ δὲ λοιπὰ, περιττολογία.

249. Οὗ τινος ἡ καρδία οὐκ ἔστι καθαρὰ, τούτῳ ἀνωφελῆ εἰσι ταῦτα πάντα· ἡ δόσις, ἡ λατρεία, ἡ ἐγκράτεια, ἡ προσκύνησις ἁγίων τόπων, καὶ ἡ μάθησις.

250. Οἵα χαρὰ καὶ ἄνεσίς ἐστι τῷ ὁσίῳ ἀνδρὶ, τῷ ἀπαθῶς διάγοντι καὶ μονάζοντι, τοιαύτη οὐκ ἔστιν οὐδὲ τῷ οἰκουμενικῷ βασιλεῖ.

251. Ὅστις δοξάζει τὴν ψυχὴν μίαν, οὗτος πάντας, ὡς ἑαυτὸν, νομίζει· τῷ δὲ ἐγκρατεῖ ἑαυτοῦ, ὁ τρίτος κόσμος ὑπ' ἐξουσίαν ἐστίν.

252. Ὅπου ἀγάπη, ἐκεῖ φόβος· ἡ γὰρ ἀγάπη ἀγγεῖόν ἐστι τῆς λύπης, καὶ ῥίζα πάντων τῶν δεινῶν· ἐκριζωθείσης δὲ τῆς ἀγάπης, ἐν πολλῇ ἀνέσει διάγει ὁ ἄνθρωπος.

253. Ὁ ἔμφρων μαθητὴς διὰ μιᾶς λέξεως ἑκατὸν λέξεις μανθάνει· ὁ δ' ἄφρων οὐδὲ μίαν λέξιν μανθάνει ἐκ χιλίων λέξεων.

254 Οἷς τισι πλοῦτός ἐστιν ἡ φιλοτιμία, οὗτοι μα-

κρὸν βίον βιοῦσι (1)· τοῖς δ' οὖσιν ἀφιλοτίμοις τί ὄφελος ἐκ πλούτου, ἢ ἐκ ζωῆς (2);

255. Ἐν συμμίξει κακῶν καὶ ἀγαθῶν, τὰ ἀγαθὰ οἱ φρόνιμοι λαμβάνουσι, προτιμῶντες, καθὼς ἐν συγκράσει ὕδατος καὶ γάλακτος, τὸ γάλα λαμβάνουσιν οἱ χῆνες, ἐκμυζῶντες.

256. Πορεύου εἰς οἶκον, ἔνθα γίνεται τιμὴ, καὶ ἀπόφευγε τὸν οἶκον ἐκεῖνον, ἔνθα οὐκ ἔστι τιμή· καὶ τὸ ὄχημα δὲ τῶν θεῶν ἀπόφευγε, εἰ τιμὴ οὐ δίδοται.

257. Βελτίων ἐστὶ τῷ φιλοτίμῳ θάνατος ταχὺς μετὰ τιμῆς καὶ δόξης, ἢ ζωὴ μέχρι τῆς συντελείας τοῦ αἰῶνος μετ' ἀτιμίας καὶ ἀδοξίας.

258. Δύω εἰσὶ γλυκεῖαι ὀπῶραι τοῦ πικροῦ δένδρου τοῦ κόσμου· ἡ πεῖρα μαθήσεως καὶ ἐπιστήμης, καὶ ἡ ὁμιλία ἀγαθοῦ καὶ σπουδαίου ἀνδρός.

259. τὰ ἐντὸς τῆς καρδίας γνωρίζονται ἐκ σχήματος, ἐκ νεύματος, ἐκ κινήσεως (κινήματος), ἐξ ἔργου, ἐκ λόγου, καὶ ἐκ μεταβολῆς ὄμματος καὶ προσώπου.

260. Ἀγαθοῦ μὲν ὄντος τοῦ βασιλέως, ἀγαθὸς γίνεται καὶ ὁ λαός· κακοῦ δὲ, κακός· μετρίου δὲ, μέτριος· μιμεῖται γὰρ ὁ λαὸς τὸν βασιλέα· οἷος ὁ βασιλεὺς, τοιοῦτος καὶ ὁ λαός.

261. Οὔτε ἀλήθειά ἐστι τῷ κλέπτῃ, οὔτε καθαρότης τῷ μοιχῷ καὶ πόρνῳ, οὔτε εὐμένεια (προσήνεια) τῷ μεθύοντι· τῷ δὲ κυβευτῇ οὐδέ γε ἓν τῶν τριῶν ἐστι.

---

(1) Καὶ μετὰ θάνατον δηλ. μνημονεύονται.

(2) Οὗτοι καὶ ζῶντες, ὥσπερ τεθνηκότες εἰσίν· ἐπειδὴ οὐδεὶς αὐτῶν μνημονεύει.

262. Ἅπαξ λέγουσιν οἱ βασιλεῖς· ἅπαξ λέγουσιν οἱ ἀγαθοὶ ἄνδρες (1)· ἅπαξ ἡ παρθένος ἐκδίδοται ἀνδρί· ταῦτα τὰ τρία ἅπαξ γίνονται.

263. Τὰ ἓξ ταῦτα πρόσκαιρά εἰσιν, ὡς οἱ πομφόλυγες· ἡ σκιὰ τοῦ νέφους, τὸ ἐξ ἀχύρων πῦρ, ἡ ἀγάπη τοῦ δυστρόπου, τὸ ἐπὶ γῆς χεόμενον ὕδωρ, ἡ τῆς πόρνης ὁμιλία, καὶ ὁ κακὸς φίλος.

264. Πανταχοῦ αἱ ἀρεταὶ τιμῶνται, τὸ δὲ πατρικὸν γένος ἀνωφελές· π. χ. τὸν μὲν Κρισνᾶν πάντες προσκυνοῦσι· τὸν δὲ πατέρα αὐτοῦ Βασουδέβαν οὐχί.

265. Προστάτης ἐστὶν ὁ βασιλεὺς πάντων τῶν ἀδυνάτων, τῶν ἀσθενῶν, τῶν παίδων, τῶν γερόντων, τῶν ἀσκητῶν, καὶ τῶν κατατρυχομένων.

266. Τὸ μὲν ἔθος δηλοποιεῖ τὴν φυλὴν, ἡ δὲ διάλεκτος τὴν χώραν, ἡ δὲ τιμὴ τὴν ἀγάπην, τὸ δὲ σῶμα τὴν βρῶσιν (2).

267. Οὐδείς τις οὐδενί τινί ἐστι φίλος· φιλεῖ δὲ καὶ τιμᾷ ὁ ἄνθρωπος τὸν ἄνθρωπον διά τι τέλος καὶ συμφέρον· παραδείγματος χάριν, ἰδὼν ὁ μόσχος ἔλλειψιν γάλακτος, καταλείπει τὴν ἑαυτοῦ μητέρα.

268. Ὅστις ζῇ ἐκ πραγμάτων θείου ναοῦ, καὶ διδασκάλου, οὗτος ὄλεθρον ποιεῖ τῇ ἑαυτοῦ οἰκίᾳ, καὶ μετὰ θάνατον εἰς τὸν Ἅδην πορεύεται.

269. . . . .

---

(1) Οὐ παραβαίνουσι τὸν ὃν λέγουσι λόγον· οὐκ ἄλλο δηλ. πρότερον λέγουσι, καὶ ἄλλο ὕστερον.

(2) Ὅτι τὸ σῶμα εὐρωστεῖ καὶ εὐτονεῖ, δῆλόν ἐστιν, ὅτι ἐσθίει, καὶ τρώγει.

270. Ὑπέρθεσιν (ἀναβολὴν) δεῖ ποιεῖν ἐν πολέμοις, ἐν δανείοις, καὶ ἐν αἰτήμασιν υἱοῦ καὶ γυναικός· ἐν πᾶσι δεῖ ποιεῖν ὑπέρθεσιν· ἐν δὲ τῇ πράξει τῶν τοῦ νόμου, οὐ δεῖ ποιεῖν ὑπέρθεσιν καὶ βραδυτῆτα.

271. Οὐκ ἀγλαΐζονται, ἐκπεσόντες τῆς οἰκείας στάσεως καὶ τάξεως, ὁ βασιλεὺς, ἡ σεμνὴ γυνὴ, οἱ Βραχμᾶνες, οἱ βασιλικοὶ ὑπηρέται καὶ βουλευταὶ, οἱ ὀδόντες, αἱ τρίχες τῆς κεφαλῆς, καὶ οἱ ὄνυχες.

272. Ἁπασῶν τῶν καθαροτήτων ἐπαινετωτέρα ἐστὶν ἡ τῆς καρδίας καθαρότης· π. χ. κατ' ἄλλον τρόπον ἡ γυνὴ ἀγκαλίζεται τὸν ἑαυτῆς ἄνδρα, καὶ κατ' ἄλλον τρόπον τὸν ἑαυτῆς υἱόν (1).

273. Ἡ μὲν ζωὴ ὁμοία ἐστὶ τῇ ἀστραπῇ, ἡ δὲ συνέλευσις, ὡς τὸ ὄνειρον, ἡ δὲ στοργὴ, ὡς ἡ ἐν τῷ οὐρανῷ ἐρυθρότης κατὰ τὴν ἕω καὶ κατὰ τὴν ἑσπέραν, τὸ δὲ σῶμα, ὡς ἡ τοῦ ὕδατος σταγών.

274. Ἐν τοσούτῳ ὁ βάτραχος βοᾷ ἄφοβος, ὢν ἐν ὕδατι, ἐν ὅσῳ οὐ βλέπει τὸν σκληρὸν ὄφιν, ὅς ἐστιν ὡς ἡ προβοσκὶς τοῦ ἐλέφαντος.

275. Φθίνουσι καὶ ἀμαυροῦνται τὰ ἓξ ταῦτα ἀγαθὰ τῶν θλιβομένων πείνῃ· ἡ ἀγλαία, ἡ αἰδὼς, ὁ νοῦς, ἡ φιλοτιμία, καὶ ἡ μεγαλοπρέπεια.

276. Λέγε ἀλήθειαν· λέγε ὠφέλιμα· λέγε θεμιτὰ καὶ εὐπρεπῆ, ἃ εὐφημίαν προξενεῖ· μηδὲ ἐν εὐτραπελίαις καὶ σκώμμασι λέγε ἀθέμιτα καὶ ἀπρεπῆ, ἃ προξενεῖ δυσφημίαν.

---

(1) Τὸν μὲν ἄνδρα ἀγκαλίζεται ἐξ ἔρωτος, τὸν δὲ υἱὸν ἐκ φίλτρου καὶ καθαρᾶς καρδίας.

277. Ὅστις οὐκ οἶδε λέγειν λόγους ἀποδεικτικοὺς, ὠφελίμους (χρησίμους), ἀληθεῖς, καὶ ἐραστοὺς σπουδαίοις ἀνδράσι, διὰ τί οὗτος οὐ κρατεῖ τὴν ἑαυτοῦ γλῶτταν;

278. Ὅστις γράφει κατὰ τὴν ὑπόθεσιν καὶ ἀποδεικτικῶς, οὗτός ἐστιν ὀρθὸς ποιητὴς, τό, τε ποίημα καὶ πόνημα αὐτοῦ λυσιτελές ἐστι.

279. Ἐκεῖνός ἐστιν ἡρωϊκὸς ἀνὴρ, πραὺς, σοφὸς, ἐγκρατὴς, καὶ χαλιναγωγὸς τῶν παθῶν, ὑφ' οὗ καταβάλλεται ὁ θυμὸς δι' ἀνοχῆς, ὡς ὁ ἐχθρὸς διὰ ῥομφαίας.

280. Ἄφες τὸν θυμὸν, ὅς ἐστι ῥίζα τῆς ἀτοπίας; αὐξητικὸς (αὔξησις) τῆς κακίας, καὶ ὀλέθριος (ὄλεθρος, μείωσις) τῆς ἀρετῆς.

281. Βέλτιόν ἐστιν οἰκεῖν ἐν Ἅδου, ἢ ἐν οἴκῳ κακῷ· ἐκ μὲν γὰρ τοῦ Ἅδου φθίνει τὰ κακὰ ἔργα, ἐκ δὲ τοῦ κακοῦ οἴκου αὐξάνει.

282. Ἐν ὁμιλίᾳ κακῶν ἀνθρώπων καὶ ὁ ἀγαθὸς ἄνθρωπος, κακὸς γίνεται· παραδείγματος χάριν, τὸ ὕδωρ καθαρὸν μέν ἐστιν ἐκ φύσεως· θολὸν δὲ γίνεται ἐκ μίξεως χοός.

283. Καὶ τὸ ἀγαθὸν, κακὸν γίνεται, ὅταν ἀντίξους ᾖ ἡ τύχη· ὅταν δ' ἡ τύχη βοηθῇ, καὶ τὸ κακὸν, ἀγαθὸν γίνεται.

284. Ἐκ τύχης ἀγαθῆς εὑρίσκεται δούλῳ δεσπότης, ὅς ἐστιν ἀνεκτικὸς, δωρητικὸς, καὶ φιλόκαλος· δυςεύρετος δ' ἔστι καὶ δοῦλος φιλοδέσποτος, ἄδολος, καὶ ἐπιδέξιος.

285. Ἀγαθῆς μὲν οὔσης τῆς τύχης, πάντες σχεδὸν δοῦλοι (ὑποκείμενοι, φιλόφρονες) τῷ ἀνθρώπῳ γί-

νονται· κακῆς δ' οὔσης, καὶ οἱ φίλοι ἐχθροὶ γίνονται.

286. Ὕψωσις καὶ ὄνομα μέγα τῆς ἀνθρώποις γίνεται οὐ διὰ συλλογῆς πλούτου, ἀλλὰ διὰ δόσεως· π. χ. ὁ κόσμος οὐ τῇ πολυΰδρῳ θαλάσσῃ, ἀλλὰ τῇ νεφέλῃ, ἥ δίδωσιν ὕδωρ, ἀγαθὰ εὔχεται.

287. Πέντε αὗται θυσίαι ἁρμόζουσαί εἰσι τῷ βασιλεῖ· ἡ πρὸς τὸν κακὸν ποινὴ, ἡ πρὸς τὸν ἀγαθὸν τιμὴ, ἡ αὔξησις τοῦ θησαυροῦ ἐκ δικαιοσύνης, ἡ ἀπροσωποληψία, καὶ ἡ περὶ τὴν ἅλωσιν τῆς τοῦ ἐχθροῦ χώρας φροντίς.

288. Καθὼς ἐπωφελής ἐστιν ἡ βροχὴ ἐν τόπῳ ἀνύδρῳ, καὶ ἡ βρῶσις τῷ πεινῶντι, οὕτω καὶ ἡ διδομένη δόσις τῷ ἐνδεεῖ καὶ χρείαν ἔχοντι.

289. Ἐπαινεῖται ἡ διδομένη δόσις τῷ πτωχῷ, οὐδέποτε δὲ ἡ διδομένη τῷ πλουσίῳ· τί γὰρ ὄφελος ποιήσει τῇ θαλάσσῃ ἡ τοῦ νέφους βροχή;

290. Καὶ ἀποθανόντος τοῦ ἀνθρώπου εἰκὼν μένει ἐν γῇ καὶ μνήμη τὰ ἑξῆς· τὸ σύγγραμμα, ὃ συνέγραψεν· ἡ λίμνη καὶ τὸ φρέαρ, ἃ ἐποίησε· τὰ δένδρα, ἃ ἐφύτευσε (1), καὶ ὁ ἀγαθὸς υἱὸς, ὃν ἐγέννησε.

291. Τοῦ εὔφρονος ἀνθρώπου οἰκεῖοί εἰσι ταῦτα· ὁ μὲν νόμος ἐστὶ πατὴρ, ἡ δ' ἀνοχὴ μήτηρ, ἡ δ' εὐσπλαγχνία γυνὴ, αἱ δὲ λοιπαὶ ἀρεταὶ υἱοί.

292. Μηδὲ μίαν ἡμέραν μενέτω ὁ ἄνθρωπος ἐν ἐκείνῃ τῇ χώρᾳ, ἔνθα οὐκ ἔστιν οὔτε πλούσιος, οὔτε Βραχ-

---

(1) Πολλοὶ ἀγαθοὶ ἄνδρες ἐν Ἰνδίᾳ λίμνας καὶ φρέατα ἀνορύττουσι, καὶ δένδρα καρποφόρα καὶ δασύσκια φυτεύουσι παρὰ ταῖς ὁδοῖς, εἰς χρῆσιν καὶ ἄνεσιν τῶν ὁδευόντων.

μὰν εἰδήμων τῆς Βέδας (1), οὔτε βασιλεὺς, οὔτε ποταμὸς, οὔτε ἰατρός.

293. Οὐ δεῖ συνεῖναι ἀνθρώπῳ, ᾧ οὐκ ἔστι χρηστοήθεια, φόβος, αἰδὼς, εὐθύτης, καὶ φιλοδωρία.

294. Ἑξαειδές ἐστι τὸ σημεῖον τοῦ φίλου· δίδωσι, καὶ ἀμοιβαίως λαμβάνει· ἐκφράζει τὰ ἀγέκφραστα καὶ ἀπόῤῥητα, καὶ ἐρωτῶν, μανθάνει τὰ τοῦ φίλου· εὐωχεῖται, καὶ εὐωχεῖ.

295. Ἀπόφευγε τὴν ἀμέλειαν, τὴν φιλίαν κακοῦ ἀνθρώπου, τὴν ψευδολογίαν, τὴν ζωοκτονίαν, τὴν κυβείαν, τὴν οἰνοποσίαν, καὶ τὴν ἀλλοτρίαν γυναῖκα.

296. Ὁ φρόνιμος ἐγκαταλείπει τὸ ἥμισυ, ἵνα μὴ ἀπολέσῃ τὸ ὅλον· διὰ δὲ τοῦ ἐναπολειφθέντος ἡμίσεος ἐκτελεῖ τὰ πρὸς χρεῖαν· μωρία γάρ ἐστιν ἡ ἀπόλεια τοῦ ὅλου (τὸ ἀπολέσαι τὸ ὅλον).

297. Τοῖς μὲν τρισὶ τούτοις ἀρκείσθω ὁ ἄνθρωπος· τῇ οἰκείᾳ γυναικὶ, τῷ βρώματι, καὶ τῷ πλούτῳ ᾧ ἔχει· τοῖς δὲ τρισὶ τούτοις μηδαμῶς· τῇ δόσει, τῇ μαθήσει, καὶ τῇ ἀσκήσει.

298. Οἵα χαρὰ καὶ ἄνεσίς ἐστι τοῖς πραέσι τὴν καρδίαν, καὶ κεκορεσμένοις αὐταρκείας, ὥςπερ ἀμβροσίας! πόθεν τοιαύτη τοῖς πλοῦτον πολὺν θέλουσι, καὶ τῇ δε κἀκεῖσε θέουσιν;

299. Οἱ μὲν Βραχμᾶνες ἀπόλλυνται ἐκ τῆς πλεονεξίας, οἱ δὲ βασιλεῖς ἐκ τῆς ὀλιγαρχείας· αἱ δὲ πόρναι ἐκ τῆς αἰσχύνης, αἱ δὲ σεμναὶ γυναῖκες ἐκ τῆς ἀναισχυντίας.

---

(1) Ἱερουργὸς δηλ.

300. Ὁ φρόνιμος οὐκ ἐπιχειρεῖ, ὃ οὐ δύναται γενέσθαι, οὐδὲ πράττει, ὃ οὐ δεῖ πράττεσθαι· οὐδ' ἀποδοκιμάζει τὰ ἤθη τοῦ τόπου, καὶ διάγει κατὰ τὸν καιρόν.

301. Τοῦ μὲν βρώματος χάρις ἐστὶ καὶ ἡδύτης τὸ βούτυρον, τοῦ δ' ἀνθρώπου ἡ νεότης, τοῦ δὲ πλούτου ἡ μετάδοσις, τοῦ δὲ λόγου ἡ ἀλήθεια, τοῦ δὲ δεσπότου ἡ ἀνοχή.

302. Ἄχαρι τὸ κόσμημα ἄνευ λαμπρῶν ἐνδυμάτων· ἄχαρι τὸ ἔδεσμα ἄνευ βουτύρου καὶ ἀρτυμάτων· ἄχαρι τὸ ᾆσμα ἄνευ φωνῆς γλυκείας· ἄχαρις καὶ ἡ συνουσία ἄνευ θελήσεως τῆς θηλείας.

303. . . . .

304. . . . .

305. Κενὸς τὴν χεῖρα μὴ βλεπέτω ὁ ἄνθρωπος τὸν βασιλέα, τὸν Θεὸν, τὸν διδάσκαλον, τὸν ἀστρολόγον, καὶ τὸν ἰατρόν· χάρις γὰρ ἀντὶ χάριτος γίνεται.

306. Ἅπαντες ἥδονται τῇ ἡδυλογίᾳ· ἡδυλογίᾳ ἄρα χρήσθω ὁ φρόνιμος· τίς γὰρ ζημία γίνεται ἐκ λόγων ἡδέων;

307. Οὐ διὰ τιμῆς, ἀλλὰ διὰ ῥάβδου καλῶς διοικοῦνται ταῦτα πάντα· ὁ ὄνος καὶ τὰ λοιπὰ ζῶα, τὸ τύμπανον, ἡ θεράπαινα, τὰ παιδία, καὶ αἱ γυναῖκες.

308 Πέντε ταῦτα προορίζονται τῷ ἀνθρώπῳ, ἐν γαστρὶ ἔτι ὄντι· πόσον δηλονότι ζήσεται, τί ἐργάσεται, πόσον πλοῦτον κτήσεται, τί μαθήσεται, καὶ ποῦ, ἢ πῶς τεθνήξεται.

309. Σκεπτέσθω ὁ ἄνθρωπος διὰ νοὸς τὸ πρακτέον, καὶ μὴ ἐκφραζέτω διὰ λόγου, ἀλλ' ἐχέτω μυστικὸν, καὶ πραττέτω.

310. . . . .

311. Τῆς μὲν βασιλείας τὸ τέλος ἐστὶν ἡ προσταγὴ, τῆς δ' ἀσκήσεως ἡ παρθενία καὶ σωφροσύνη, τῆς δὲ μαθήσεως ἡ θεοφροσύνη, τοῦ δὲ πλούτου τὸ τέλος ἐστὶν ἡ μετάδοσις καὶ ἀπόλαυσις.

312. Ὁ κακὸς, εἰ καὶ ἐξ ἀγαθοῦ γένους κατάγεται, κακός ἐστι· π. χ. τὸ καυστικὸν πῦρ, εἰ καὶ ἐκ τοῦ ψυκτικοῦ Σανδάνου ἅπτεται, καυστικόν ἐστι.

313. . . . .

314. Καθὼς αἱ μυῖαι πληγῆς (τραύματος) ἐφίενται, οὕτω καὶ οἱ βασιλεῖς· οἱ μὲν κακοὶ μάχης καὶ ταραχῆς ἐφίενται, οἱ δ' ἀγαθοὶ εἰρήνης καὶ ἡσυχίας.

315. Καθὼς ὁ ποταμὸς ἐν μὲν τῇ ἀρχῇ τῶν ὄμβρων (1) μικρός ἐστιν, ἐν δὲ τῷ μέσῳ μείζων, ἐν δὲ τῷ τέλει μέγιστος, καὶ οὐδέποτε ἀναστρέφει, οὕτω καὶ ἡ φιλία τῶν ἀγαθῶν πάντοτε αὐξάνει καὶ οὐκ ἀναστρέφει.

316. Οὗ τινος διὰ τῆς ζωῆς ζῶσι πολλοὶ θεράποντες, καὶ φίλοι, καὶ οἰκεῖοι, τούτου ἡ ζωὴ ἐπωφελής ἐστι· τίς γὰρ οὐ ζῇ δι' ὄφελος μόνον ἑαυτοῦ;

317. Ὁ κακὸς, καίπερ λίαν εὐεργετούμενος, ἅπερ οὐ δεῖ λέγειν καὶ ἐν λογομαχίᾳ, ταῦτα λέγει ἐν γέλωτι καὶ χαριεντισμῷ· ὁ δ' ἀγαθὸς, καίπερ ἐρεθιζόμενος εἰς ὀργὴν, οὐκ ἐκφράζει ἄρρητα καὶ ἀπρεπῆ· π. χ. ὁ σακχαροκάλαμος, καίπερ πιεζόμενος, γλυκὺν χυμὸν ἐκρέει.

---

(1) Οἱ περιοδικοὶ ὄμβροι ἄρχονται ἐν Ἰνδίᾳ κατὰ τὴν ἀρχὴν τοῦ Ἰουνίου, καὶ παύονται κατὰ τὸν Σεπτέμβριον.

318. Ἄλλο μὲν δίδοται εἰς πρᾶξιν τῶν τοῦ νόμου (1), ἄλλο δὲ εἰς ἀπαλλαγὴν φόβου καὶ κινδύνου, ἄλλο δὲ εἰς ἀμοιβὴν χάριτος· ὅ,τι δὲ δίδοται εἰς ἄλλο τέλος (2), ἀλυσιτελές ἐστι.

319. . . . .

320. Τοῦ μὲν ἀχύρου ἐλαφρότερός ἐστιν ὁ βάμβαξ· τοῦ δὲ βάμβακος ἐλαφρότερος ὁ ἐπαίτης· οὐκ ἀναφέρεται δὲ ὑπὸ τοῦ ἀέρος, ἵνα μὴ αἰτήσηταί τι αὐτόν.

321. . . . .

322. . . . .

323. Κοσμήματά εἰσι τῆς γῆς πέντε· ὁ φιλόκαλος βασιλεύς, ὁ ἀγαθὸς καὶ πλούσιος, ὁ εὐπαίδευτος καὶ σώφρων, ἡ χρηστοήθης γυνή, καὶ ὁ γενναῖος ἐν πολέμοις ἵππος.

324. Οὐκ ἔστιν ἄλλο μαραντικὸν τοῦ σώματος, ὡς ἡ μέριμνα, οὐδ' ἄλλο θρεπτικὸν, ὡς ἡ μήτηρ, οὐδ' ἄλλο εὐφραντικὸν, ὡς ἡ γυνή, οὐδ' ἄλλο κοσμητικὸν, ὡς ἡ μάθησις.

325. Τίς εἶδεν, ἢ ἤκουσεν ἐν μὲν τῷ κόρακι καθαρότητα, ἐν δὲ τῷ κυβευτῇ ἀλήθειαν, ἐν δὲ τῷ ὄφει ἀνοχὴν, ἐν δὲ ταῖς γυναιξὶν ἔρωτος κόρον, ἐν δὲ τῷ δειλῷ ἀνδρείαν, ἐν δὲ τῷ οἰνοπότῃ διάκρισιν (κρίσιν νοὸς), ἐν δὲ τῷ τυράννῳ φιλίαν;

326. Μείζων πασῶν τῶν ἀρετῶν ἐστιν ἡ εὐσπλαγχνία· ἄριστον πάντων τῶν ποτῶν ἐστι τὸ ὕδωρ· κρείτ-

---

(1) Εἰς ἔλεος τῶν πτωχῶν κατὰ τὸν νόμον, καὶ εἰς θυσίας καὶ ἄλλα ἀγαθά.

(2) Εἰς τροφὰς δηλ.

των πάντων τῶν τερπνῶν ἐστιν ἡ γυνή· τῶν δὲ μελῶν τοῦ σώματος ἡ κεφαλή.

327. Πέντε ταῦτα καίουσιν ἄνευ πυρός· ἡ τῆς γυναικὸς διάζευξις, ἡ ἐκ τῶν οἰκείων ἀτιμία, τὸ λείψανον τοῦ χρέους, ἡ πρὸς τὸν κακὸν θεραπεία, καὶ ὁ ἀποστρέφων τὸ πρόσωπον φίλος, ἕνεκα τῆς τοῦ φίλου δυστυχίας.

328. Τέσσαρα ταῦτα ἄλγος ἐστὶ τῇ κεφαλῇ τοῦ ἀνθρώπου· ὁ ἀνάγωγος ὑπηρέτης, ὁ ἀδότης βασιλεύς, ὁ δύστροπος φίλος, καὶ ἡ ἀπειθὴς γυνή.

229. Ἡ μὲν σύναξις τέλος ἔχει τὴν διασκέδασιν, ἡ δὲ σύζευξις τὴν διάζευξιν, ἡ δ' ὕψωσις τὴν πτῶσιν· ἡ δὲ ζωὴ τέλος ἔχει τὸν θάνατον.

230. Οὐκ ἔστι βουλὴ ἐκείνη, ἐν ᾗ οὐκ εἰσὶ γέροντες· οὐδὲ γέροντές εἰσιν ἐκεῖνοι, οἳ οὐ λέγουσι τὸ δίκαιον· οὐδὲ δίκαιόν ἐστιν ἐκεῖνο, ἐν ᾧ οὐκ ἔστιν ἀλήθεια· οὐδ' ἀλήθειά ἐστιν ἐκείνη, ἣ σοφίσμασι συνίσταται.

ΣΥΝΟΨΙΣ ΓΝΩΜΙΚΩΝ ΚΑΙ ΗΘΙΚΩΝ

ΤΟΥ

ΗΘΟΛΟΓΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ

ΣΑΝΑΚΕΑ.

Δ. Γαλανὸς ὁ Ἀθηναῖος, παρακληθεὶς ὑπὸ τοῦ ἀξιολόγου ἀνδρὸς, τοῦ Ταξιάρχου Νικολάου Κεφαλᾶ, πέμπει διὰ τῶν χειρῶν αὐτοῦ τοῦτο τὸ Πονημάτιον μετὰ τοῦ πρωτοτύπου· ἅπερ καὶ ἀνατίθησιν, ὡς πρωτόλεια, τῇ ἐν Πελοποννήσῳ Ἑλληνικῇ Διοικήσει.

Δεκέμβριον 1823, ἐξ Ἰνδίας.

Ἀντίγραφον τῆς παρούσης Συνόψεως τῶν Γνωμικῶν καὶ ἠθικῶν τοῦ ἠθολόγου καὶ φιλοσόφου Σανακέα, ὡς γίνεται δῆλον ἐκ τῆς προτεθείσης σημειώσεως, τὴν ὁποίαν εὕρομεν ἐν τῷ χειρογράφῳ τοῦ ἀοιδίμου Δ. Γαλανοῦ, ἔπεμψε τῷ 1823 διὰ τοῦ Ταξιάρχου Ν. Κεφαλᾶ, μετὰ τοῦ πρωτοτύπου, πρὸς τὴν ἐν Πελοποννήσῳ ἀρτισύστατον Ἑλληνικὴν Διοίκησιν. Ἀλλ' ὁ κομιστὴς, ἀντὶ νὰ ἐκπληρώσῃ τὴν παραγγελίαν του, τὸ μὲν πρωτότυπον μετὰ τῆς Ἑλληνικῆς μεταφράσεως ἀφιέρωσεν εἰς τὴν ἐν Ῥώμῃ Βατικανὴν βιβλιοθήκην· αὐτὸς δὲ μεταβαλὼν αὐτὴν εἰς ἁπλουστέραν φράσιν, ἐτύπωσεν ὡς ἰδίαν αὐτοῦ ἐκ τοῦ Βραχμανικοῦ μετάφρασιν τῷ 1825 ἐν Ῥώμῃ, ὑπὸ τὴν ἑξῆς ἐπιγραφήν· «Σύνοψις γνωμῶν ἠθικῶν τοῦ Ἰνδοῦ φιλοσόφου Σανακέα, ἐκ τῆς Σανσκρίτης, ἤτοι Βραχμανικῆς τῶν Ἰνδῶν διαλέκτου εἰς τὴν Ἑλληνίδα καὶ Ἰταλίδα μετενεχθεῖσα φωνὴν ὑπὸ τοῦ Ἕλληνος περιηγητοῦ Κ. Νικολάου Κεφαλᾶ, τοῦ ἐκ Ζακύνθου. Τὸ Ἰνδικὸν κείμενον ἀφιερώθη ἀπὸ τὸν μεταφραστὴν εἰς τὴν ἁγίαν Παπικὴν βιβλιοθήκην τοῦ Βατικάνου, εἰς γενικὴν θεωρίαν. Παρὰ τῇ τυπογραφίᾳ Φιλίππου καὶ Νικολάου δὲ Ῥωμάνης. Ἐν Ῥώμῃ ᾳωκέ, εἰς 8ον.» (Σημ. τῶν ἐκδοτῶν).

ΣΥΝΟΨΙΣ

ΓΝΩΜΙΚΩΝ ΚΑΙ ΗΘΙΚΩΝ

ΤΟΥ

ΗΘΟΛΟΓΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ ΣΑΝΑΚΕΑ.

Προσκυνήσας τὸν Βραχμὰν (1) τὸν Βισνοῦν καὶ τὸν Σίβαν, ἐρῶ περὶ ἀπαραμίλλου ἠθολογίας, καὶ γνωμολογίας.

Ὅσα ἠθικὰ, ὁ ἠθικὸς Σανακέας εἴρηκε, ταῦτα ἐρῶ ἐν συνόψει εἰς φῶς τοῦ νοὸς τῶν ἀνθρώπων (2).

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Ἐκ μὲν τῆς μαθήσεως γίνεται γνῶσις τῶν ὄντων, ἐκ δὲ τῆς γνώσεως φήμη ἐν παντὶ τῷ κόσμῳ· ὁ δὲ πανεύφημος τιμᾶται καὶ δοξάζεται κἂν τούτῳ κἂν τῷ μέλλοντι βίῳ.

---

(1) Οἱ Ἰνδοὶ εἰώθασιν ἄρχεσθαι παντὸς ἔργου ἐκ τοῦ ὀνόματος τοῦ Θεοῦ. Ἰστέον, ὡς οἱ Φιλόσοφοι τῶν Ἰνδῶν, τρία πρόσωπα ἐπὶ τῆς Θεότητος δοξάζουσιν, ὧν τὰ ὀνόματά ἐστι ταῦτα· Βραχμᾶς, Βισνοῦς καὶ Σίβας· καὶ τοῦ μὲν Βραχμᾶ ἴδιόν ἐστι τὸ γεννητικὸν καὶ ποιητικὸν, τοῦ δὲ Βισνοῦ τὸ προνοητικὸν καὶ θρεπτικὸν, τοῦ δὲ Σίβα τὸ ὀλοθρευτικὸν καὶ ἀφανιστικόν· ὅ ἐστι, Γέννησις, Αὔξησις, καὶ Μείωσις· δόγμα φιλοσοφικὸν καὶ ἀναντίῤῥητον.

(2) Τὰ μέχρι τοῦδε τὸ προοίμιόν ἐστι τοῦ ποιητοῦ, τοῦ ποιήσαντος ἐπιτομὴν τῆς Πραγματείας ταύτης.

2. Καὶ ὁ γέρων καὶ πολιὸς τὴν τρίχα συλλεγέτω μάθησιν· οὐ γὰρ τιμᾶται τοσοῦτον ὁ πολύπλουτος, ὅσον ὁ πολυμαθής.

3. Ὁ ἔχων μάθησιν, κρίνει τὸ δίκαιον καὶ τὸ ὀρθὸν, ἐκκλίνει ἀπὸ τοῦ κακοῦ, γνῶσιν ἔχει τῶν ὄντων, καὶ τυγχάνει τῆς ἀθανασίας.

4. Τί ὄφελος ἐξ ἐκείνης τῆς μαθήσεως, ἣ οὐκ ἀποβλέπει εἰς τὸ ἱλαρὸν, εἰς τὸ δίκαιον, καὶ εἰς τὸ ἀτάραχον τοῦ νοός; ἡ γὰρ μάθησις ἄνευ ἀρετῆς, ὁμοία ἐστὶ τῇ τοῦ κόρακος ἀνάρθρῳ καὶ ἀσήμῳ φωνῇ.

5. Τρία αἴσχη καὶ ὀνείδη τοῖς ἀνθρώποις εἰσίν· ἡ ἀτελὴς γνῶσις παντὸς εἴδους ἐπιστήμης, ἡ ἐπὶ μισθῷ συνουσία (1), καὶ ἡ παρασιτία.

6. Καθὼς ὁ ὠκεανὸς πολύϋδρος γίνεται διὰ τῆς συῤῥοῆς πολλῶν ποταμῶν, οὕτω καὶ ὁ ἄνθρωπος πολύϊδρις γίνεται, διὰ τῆς συλλογῆς πολλῶν λέξεων καὶ λόγων.

7. Καθὼς ἡ βασιλεία τῶν βασιλέων ὄλλυται, οἳ οὐκ ἔχουσι βουλευτὰς, οὕτω καὶ αἱ γυναῖκες, αἱ μὴ οὖσαι ἐν ὑποταγῇ ἀνδρῶν, καὶ τὰ δένδρα, τὰ ἐν ταῖς ὄχθαις τῶν ποταμῶν.

8. Θεραπευτέον ἐστὶ τὸ μέγα δένδρον, τὸ καρπὸν φέρον, καὶ σκιὰν ποιοῦν· εἰ γάρ ποτε ἐκ τύχης καρπὸν μὴ φέροι, ἡ σκιὰ μέν τοι γ' αὐτοῦ ὑπ' οὐδενὸς ἂν κωλυθείη.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ἐν πᾶσι τὸ ὑπὲρ τὸ μέτρον ἀποφευκτέον· ὁ μὲν γὰρ Βαλὴς ἐδεσμεύθη διὰ τὴν ὑπὲρ τὸ μέτρον πολυδω-

(1) Ἡ μετὰ πόρνης δηλονότι καὶ παλλακίδος.

ρίαν· ὁ δὲ Ῥαβάνας ἀνῃρέθη διὰ τὴν ὑπὲρ τὸ μέτρον λαγνείαν, ὁ δὲ Δουριδδάνας (1) διὰ τὴν ὑπὲρ τὸ μέτρον ὑπερηφανίαν.

2. Ἡ ἐχεμυθία πρόξενόν ἐστι παντὸς ἀγαθοῦ· οἱ μὲν γὰρ ψιττακοὶ κύρτῃ ἐγκαθείργνυνται ἐκ τῆς οἰκείας γλωσσαλγίας· οἱ δὲ λάροι ἐλεύθεροι διάγουσιν ἐκ τῆς ἰδίας ἀφωνίας.

3. Οὗτινος ἐν τῇ χειρί ἐστι τὸ τόξον τῆς ὑπομονῆς, τίς κακὸς κακὸν ἂν ποιήσειε τούτῳ; Παραδείγματος χάριν· τὸ πῦρ, ἐμπεσὸν τόπῳ ἄνευ ἀχύρων καὶ φρυγάνων, οἴκοθεν ἀποσβέννυται.

4. Τῆς μὲν δικαιοσύνης ῥίζα ἐστὶν οἱ Βασιλεῖς, τῆς δὲ ἐγκρατείας οἱ Βραχμᾶνες· ὅπου δ' οἱ Βραχμᾶνες τιμῶνται, ἐκεῖ ὁ νόμος ἀΐδιος μένει καὶ ἀμετάτρεπτος.

5. Οὐ διὰ τοῦ διδασκάλου καταληπτὴ γίνεται ἡ μάθησις, ἀλλὰ διὰ τοῦ νοός· καὶ παρόντος γὰρ φωτὸς, ὁ τυφλὸς οὐ βλέπει.

6. Ἀγαθοῦ μὲν ὄντος τοῦ βασιλέως, ἀγαθὸς γίνεται καὶ ὁ λαός· κακοῦ δὲ, κακός· μέσου δὲ, μέσος· ὁ γὰρ λαὸς μιμεῖται τὸν βασιλέα· οἷος ὁ βασιλεὺς, τοιοῦτος καὶ ὁ λαός.

7. Καὶ ὁ διδάσκων καὶ ὁ διδασκόμενος, καὶ εἴ τις ἄλλος οἵᾳ δή τινι ἐπιστήμῃ ἐνασχολεῖται, οὐ καλοῦνται σοφοὶ, ἀλλὰ σχολαστικοί· ὅστις δὲ ποιεῖ, ἃ λέγει καὶ ἃ μανθάνει, οὗτός ἐστι σοφός.

8. Οἱ ἐξαειδεῖς οὗτοι Βραχμᾶνες ἐναριθμοῦνται τῇ

(1) Καὶ οἱ τρεῖς μέγιστοι καὶ κράτιστοι βασιλεῖς, περὶ ὧν μυθολογία ἐστὶ καὶ ἱστορία ἐκτεταμένη.

ἐσχάτῃ καὶ οὐτιδανῇ τάξει τῶν ἀνθρώπων (1)· ὁ στρατιωτικὸν βίον μετερχόμενος, ὁ ἐκ μέλανος καὶ καλάμου ζῶν, ὁ νεωκόρος (2), ὁ δρομεὺς (3), ὁ κοινὸς ἱερουργὸς (4), καὶ ὁ μάγειρος.

9. Πολλοὶ μὲν φαίνονται ἐπιτήδειοι εἰς τὸ συμβουλεύειν ἄλλοις· δυςεύρετοι δὲ οἳ συμβουλεύουσιν ἑαυτοῖς, καὶ μεταβάλλουσι τὴν πονηρὰν ἑαυτῶν φύσιν.

10. Νεκρά ἐστιν ἡ μάθησις ἄνευ ἔργων ἀρετῆς· νεκροὶ οἱ ἀμαθεῖς· νεκρὸν τὸ ἄναρχον στράτευμα· νεκραὶ καὶ αἱ χῆραι (5) γυναῖκες.

11. Οἱ μὲν ὄλλυνται ἐξ ἀμαθείας· οἱ δὲ ἐξ ἀμελείας· οἱ δὲ ἐκ θρασύτητος· ἄλλοι δὲ διαφθείρονται ἐκ τῶν διεφθαρμένων καὶ ἐκδεδιῃτημένων.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Τηνάλλως ποιοῦσιν οἱ ἄνθρωποι (6)! ἄλλη μὲν

(1) Νῦν δὲ, ὅσοι τῶν Βραχμάνων τοιούτοις ἀπηγορευμένοις ἐπαγγέλμασι χρῶνται, καί τοι οὐκ ἀριθμοῦνται τῇ ἐσχάτῃ καὶ οὐτιδανῇ τάξει τῶν ἀνθρώπων, οὐκ ἔχουσιν ὅμως τιμὴν τοσαύτην, ὅσην ἔχουσιν οἱ λοιποὶ οἱ μὴ πράττοντες ταῦτα.

(2) Ὁ ὑπηρετῶν ἐν τῷ Ναῷ, καὶ λαμβάνων τὰ προσφερόμενα· ἐπίψογον γάρ ἐστιν, ὡς δουλικὸν καὶ μικροπρεπὲς, τὸ ποιεῖν καὶ λαμβάνειν τοιαῦτα.

(3) Ὁ ἀγγελιοφόρος ἢ γραμματοφόρος.

(4) Τουτέστιν ὁ Ἐφημέριος, ὁ ἐπὶ μισθῷ ἱερουργῶν· δουλικὸν γὰρ τὸ μισθοφορεῖν, καὶ ἐπίμωμον (ἐπίψογον) τὸ πιπράσκειν τὰ ἅγια.

(5) Δεῖ τὴν χήραν κεκαρμένην τὴν κόμην ἔχειν, ἀπέχειν λαμπρῶν φορεμάτων καὶ κοσμημάτων, χαμευνίᾳ χρῆσθαι, καὶ ἐν πένθει διάγειν ἐφ' ὅρου ζωῆς· οὐ γάρ ἐστι νόμιμον, δεύτερον ἄνδρα λαβεῖν.

(6) Ταλανίζει τοὺς προσκειμένους ταῖς θυσίαις καὶ πάσῃ ἄλλῃ πρακτικῇ, ἀσχέτως τῆς ἐπιστήμης, καὶ ἀμελοῦντας τῆς θεωρίας καὶ θεοφροσύνης.

γάρ ἐστιν ἡ γνῶσις τῶν Βεδῶν (1) (ἡ πρᾶξις τῶν τῆς Βέδας)· ἄλλη δὲ ἡ μάθησις καὶ παιδεία· ἄλλη δὲ ἡ ὁδὸς (2) ἡ ἄγουσα εἰς τὴν ἀπάθειαν καὶ ἀθανασίαν.

2. Καθὼς αἱ μὲν Βέδαι ἀλυσιτελεῖς εἰσιν ἄνευ θυσιῶν, αἱ δὲ θυσίαι ἄνευ δωρεῶν (3), οὕτω καὶ ἄνευ πίστεως τελεσιουργία οὐ γίνεται· ἡ γὰρ πίστις τὸ κεφάλαιόν ἐστι καὶ θεμέλιον.

3. Ὁ Θεὸς εὐμενὴς καὶ ἵλεως γίνεται τῷ ἀνθρώπῳ, ὃς ποιήσας εἰκόνα ἐκ λίθου, ἢ σιδήρου, ἢ ἄλλου του μετάλλου, πίστιν ἔχει καὶ εὐλάβειαν, καὶ λατρείαν συνεχῆ ποιεῖ.

4. Παρὰ μὲν τοῖς πυρολάτραις Βραχμᾶσιν ὁ Θεός ἐστιν ἐν τῷ ἀσβέστῳ πυρί, παρὰ δὲ τοῖς εὔφροσιν ἐν τῇ καρδίᾳ, παρὰ δὲ τοῖς ἄφροσιν ἐν τῇ εἰκόνι, παρὰ δὲ τοῖς θεόφροσι καὶ θεολόγοις ἐν παντὶ τόπῳ καὶ πράγματι.

---

(1) Βέδαι λέγονται μυσταγωγικαὶ βίβλοι, τουτέστιν αἱ ἱεραὶ Γραφαὶ τῶν Ἰνδῶν· εἰσὶ δὲ τέσσαρες· λέγεται καὶ ἑνικῶς Βέδα, ἡ ἱερὰ Γραφὴ τῶν Ἰνδῶν.

(2) Ἡ θεωρία δηλονότι. Ἰστέον ὡς οἱ θεολόγοι τῶν Ἰνδῶν δοξάζουσιν, ὅτι οὐ διὰ τῆς πρακτικῆς ἀρετῆς, ἀλλὰ διὰ τῆς θεωρητικῆς, τυγχάνει τῆς ἀθανασίας ὁ ἄνθρωπος· ὅταν γὰρ ἀφῇ τὰ τῆς ὕλης, τότε θανὼν, σύνεστι τῷ ἀΰλῳ καὶ ἀθανάτῳ Θεῷ.

(3) Νόμος ἐστὶν ἐν τελετῇ θυσίας, πολλὰς δωρεὰς δίδοσθαι τοῖς θυηπόλαις Βραχμᾶσι, καὶ πᾶν ὅ,τι ἄλλος τις αἰτεῖ· εἰ δὲ μὴ, ματαία ἐστὶν ἐκείνη ἡ θυσία καὶ ἀλυσιτελής· ἐν δὲ ταῖς θυσίαις οὐ θῆλυ, ἀλλ' ἄῤῥεν θύεται· ἔστι δὲ τὸ ἐξαίρετον ἱερεῖον, ἐρίφιον ὑγιὲς, ὁλομελὲς καὶ εὐτραφὲς, ὅπερ οὐ σφάζεται, ἀλλὰ πνίγεται, ἵνα ᾖ ἡ θυσία ἀναίμακτος. Πάλαι μὲν ἐθύετο καὶ βοῦς, νῦν δ' ἀπηγορευμένη ἐστὶν ἡ βουθυσία. Μεγίστη δ' ἁπασῶν τῶν θυσιῶν ἐστιν ἡ ἱπποθυσία, ἣ προσήκει βασιλεῖ νικηφόρῳ καὶ τροπαιοφόρῳ κατὰ πολλῶν βασιλέων· ὑπερτέρα δὲ τῆς ἱπποθυσίας κρίνεται ἡ ἀνθρωποθυσία· νῦν δ' οὐκ ἐθίζεται.

5. Οἵαν πεποίθησιν καὶ πίστιν ἔχει ὁ ἄνθρωπος εἰς τὸν Θεὸν, εἰς τὸν θεῖον Βραχμᾶνα, εἰς τὸ ἱερὸν Τέμενος, εἰς τὸν ἀστρολόγον (μάντιν), εἰς τὴν ἐπῳδὴν, εἰς τὴν ἰατρικὴν βοτάνην, ἢ εἰς τοὺς γονεῖς, τοιοῦτον καὶ τὸ ἀποτέλεσμα γίνεται.

6. Οὔτ' ἐν τῇ ξυλίνῃ εἰκόνι ὁ Θεός ἐστιν, οὔτ' ἐν τῇ λιθίνῃ, οὔτ' ἐν τῇ πηλίνῃ· ὁ Θεός ἐστιν ἐν τῇ πίστει· ἡ γὰρ πίστις ἐστὶ τὸ κύριον καὶ κεφάλαιον.

7. Οὐκ ἔστιν ἄλλη ἐγκράτεια, ὡς ἡ ἀνοχὴ, οὐδ' ἄνεσις, ὡς ἡ αὐτάρκεια· οὐκ ἔστιν ἄλλη κακία, μείζων τῆς πλεονεξίας· οὐδ' ἄλλη ἀρετὴ, κρείττων τοῦ ἐλέους καὶ τῆς εὐσπλαγχνίας.

8. Ὁ μὲν θυμός ἐστιν ὁ Ἅδης (Ἀϊδονεύς)· ἡ δὲ πλεονεξία, ἡ Στύξ· ἡ δὲ μάθησις, ἡ Καμαδούγγα (1)· ἡ δὲ αὐτάρκεια, ἡ χώρα τῶν Μακάρων.

9. Τί δυςβάστατον τοῖς εὐτόνοις; τί δύςκτητον τοῖς φερεπόνοις; τίς ἀλλοδαπὴ τοῖς φιλολόγοις; τίς δυςμενὴς τοῖς ἡδυλόγοις;

10. Εἰ ζητεῖς ἀρετὴν, μὴ βλέπε εἰς τὴν εὐμορφίαν· εἰ ζητεῖς χρηστοήθειαν καὶ ἀγαθοφυίαν, μὴ βλέπε εἰς τὴν τῶν προγόνων εὐγένειαν· εἰ ζητεῖς ἐντελέχειαν καὶ θείαν φρόνησιν, μὴ βλέπε εἰς τὴν παιδείαν καὶ μάθησιν· εἰ ζητεῖς τρυφὴν, μὴ βλέπε εἰς τὸν πλοῦτον.

11. Οὐδέν ἐστιν ἡ εὐμορφία τῷ μὴ ἔχοντι ἀρετὰς καὶ προτερήματα· οὐδέν ἐστι τὸ μέγα καὶ λαμπρὸν γέ-

(1) Μυθολογουμένη δάμαλις ἐν οὐρανῷ, ἐξ ἧς ἀμέλγεται πᾶν ἐφετόν· ἔστι δὲ παρὰ τοῖς Ἰνδοῖς αὕτη ἡ πάνδωρος δάμαλις, ὡς παρὰ τοῖς Ἕλλησι, τὸ τῆς Ἀμαλθείας κέρας.

νος τῷ κακοφυεῖ καὶ κακοήθει· οὐδέν ἐστιν ἡ παιδεία καὶ ἡ μάθησις τῷ μὴ ἔχοντι ἐντελέχειαν καὶ θείαν φρόνησιν· οὐδέν ἐστιν ὁ πλοῦτος, τῷ μὴ τρυφῶντι αὐτοῦ.

12. Αἱ ἀρεταὶ καὶ τὰ προτερήματα κοσμοῦσι τὴν εὐμορφίαν· ἡ χρηστοήθεια καὶ εὐφυία κοσμεῖ τὴν εὐγένειαν· ἡ ἐντελέχεια καὶ θεία φρόνησις κοσμεῖ τὴν παιδείαν καὶ τὴν μάθησιν· ἡ τρυφὴ κοσμεῖ τὸν πλοῦτον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Τὸ ἐπὶ γῆς ὕδωρ καθαρόν ἐστι καὶ ἀμόλυντον· ἡ σώφρων καὶ φίλανδρος γυνὴ, καθαρά ἐστι καὶ ἀγλαά· ὁ ἀγαθοπάροχος βασιλεὺς, καθαρός ἐστι καὶ λαμπρός· ὁ αὐτάρκης Βραχμὰν, καθαρός ἐστι καὶ ἁγνός.

2. Ἡ γῆ καθαρά ἐστιν ἀεὶ, εἰ μή τις προσείη ἀκαθαρσία· ἐκτὸς οὖν τῆς ἐνούσης ἀκαρθαρσίας, πᾶς τις τόπος τῆς γῆς καθαρός ἐστιν ἀεί.

3. Ὄλλυται ὁ Βραχμὰν, ὁ μὴ ὢν ὀλιγαρκής: ὄλλυται ὁ βασιλεὺς, ὁ ὢν ὀλιγαρκής· ὄλλυνται αἱ πόρναι, αἱ οὖσαι αἰσχυντηραί· ὄλλυνται αἱ λοιπαὶ γυναῖκες, αἱ οὖσαι ἀναίσχυντοι.

4. Ἀσφαλής ἐστιν ὁ Βραχμὰν, ὁ ὢν εἰδήμων τῆς Βέδας, καὶ πάσης ἐπιστήμης· ἀσφαλής ἐστιν ὁ βασιλεὺς, ὁ ὢν ἔννομος καὶ δίκαιος· ἀσφαλὴς ἡ γυνὴ, ἡ οὖσα σώφρων καὶ σεμνή· ἀσφαλὴς καὶ εὐοίκητος ἡ γῆ, ἡ οὖσα ποώδης καὶ εὔφορος.

5. Κατὰ μὲν τὴν ἕω, φροντίδα ἐχέτω τοῦ ἀγροῦ ὁ ἄνθρωπος· κατὰ δὲ τὴν μεσημβρίαν τοῦ οἴκου· κατὰ δὲ

8*

τὴν ἑσπέραν τῆς προσόδου καὶ τῆς δαπάνης· πάντοτε δὲ φροντίδα ἐχέτω τοῦ υἱοῦ.

6. Ἀποσκοπείτω ἀεὶ ὁ ἄνθρωπος, ὅπως ἡ μὲν μήτηρ αὐτοῦ φροντίδα ἔχῃ τῶν τοῦ μαγειρείου, οἱ δὲ υἱοὶ τῶν τοῦ οἴκου, ἡ δὲ γυνὴ τῶν τοῦ νόμου (1).

7. Τί ποιήσειεν ἂν ὁ ἐπιδέξιος, ἢ ὁ φρόνιμος, ἢ καὶ ὁ γενναῖος καὶ ἥρως, ὅτε ἡ τύχη, ἀντίξοος οὖσα, πάσας τὰς αὐτοῦ πράξεις ἀλυσιτελεῖς ἀπεργάζεται;

8. Τί ποιήσειεν ἂν ὁ νουνεχής, ὅςτις ἐρεθίζεται ὑπὸ τῆς οἰκείας εἱμαρμένης; ὁ γὰρ νοῦς τῶν ἀνθρώπων παρακολουθεῖ τῷ προωρισμένῳ καὶ πεπρωμένῳ.

9. Δεδεμένος ὁ ἄνθρωπος ὑπὸ τοῦ πεπρωμένου, ὥςπερ ὑπὸ σχοινίου, ἄγεται βιαζόμενος ἢ εἰς ἀκροτάτην εὐδαιμονίαν, ἢ εἰς ἐσχάτην κακοδαιμονίαν.

10. Οὐ δοτέον παιδείαν καὶ μάθησιν μαθητῇ κακόφρονι, ἀλλὰ θνητέον μετ' αὐτῆς· ὁ γὰρ κακόφρων, παιδευθεὶς καὶ διδαχθείς, δυσμενὴς γίνεται ὕστερον τῷ παιδεύσαντι, καὶ διδάξαντι.

11. Οὗ τινος οὔτε ἡ φυή, οὔτε ἡ φυλὴ γνωστή ἐςιν, εἰς τοῦτον τίς φρόνιμος ἄνθρωπος πίστιν καὶ πεποίθησιν ἕξει;

12. Οὐδέποτε ὁ υἱὸς τῆς ἀδελφῆς οἰκεῖος καὶ φιλόφρων γίνεται, κἂν ἀπείρους χάριτας καὶ ἀμέτρους δωρεὰς ποιῇς, κἂν ἄκρον φίλτρον προσεπιδεικνύῃς.

13. Οὐδέποτε δοτέον ἐξουσίαν τῷ υἱῷ τῆς ἀδελφῆς· καιροῦ γὰρ τυχὼν, καὶ αὐτὸς ἐχθρὸς μέγας γίνεται σὺν τοῖς λοιποῖς.

---

(1) Τοῦ διδόναι τοῖς αἰτοῦσι, καὶ ξενίαν ποιεῖν τοῖς ξένοις.

14. Ὁ φρόνιμος ἡδέως καὶ αἰσίως διάγει, ἐάν, ἀποβλέπων εἰς τὸ οἰκεῖον ἀγαθὸν καὶ συμφέρον, ἐν καιρῷ φιλίαν μετ' ἐχθροῦ, καὶ ἐν καιρῷ μάχην μετὰ φίλου ποιῇ, ἀνάγκης κατεπειγούσης.

15. Οὗ τινος ἡ μήτηρ μοιχαλίς ἐστιν, οὗτος, οὐδέν ἐστι κακόν, ὅπερ οὐ ποιεῖ· οὐδεμίαν ἄρα δεῖ πίστιν καὶ πεποίθησιν εἰς νόθους ἔχειν, κἂν πᾶσαν μάθησιν καὶ ἐπιστήμην οἴδασι.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Ὁποία φιλία μετὰ τῆς γαλῆς; ὁποία φιλία μετὰ τοῦ βασιλέως (1); ὁποία φιλία μετὰ τῆς πόρνης; ὁποία φιλία μετὰ τοῦ ἐπαίτου καὶ ἀγύρτου;

2. Καθὼς ἡ εἰς τὸν ὠκεανὸν βροχή, καὶ ἡ πρὸς τὸν κεκορεσμένον βρῶσις, ἐπὶ ματαίῳ ἐςίν, οὕτω καὶ ἡ μετὰ τῶν κακῶν φιλία ἐν καιρῷ ἀνάγκης.

3. Ὅτε ἡ μὲν μάθησις ἐν βιβλίῳ κεῖται, ἀλλ' οὐκ ἐν τῷ στήθει, ὁ δὲ πλοῦτος ἐν ἀλλοτρίᾳ χειρί, ἀλλ' οὐκ ἐν τῇ ἰδίᾳ, ἐν καιρῷ ἀνάγκης οὐκ ἔστι μάθησις ἡ τοιαύτη μάθησις, οὐδὲ πλοῦτος ὁ τοιοῦτος πλοῦτος.

4. Καθὼς ἡ γαλῆ δρύπτεται τὴν χεῖρα ἐκείνην, δι' ἧς δίδωσιν αὐτῇ τεμάχιον ἄρτου ὁ ἄνθρωπος, οὕτω καὶ ὁ κακότροπος.

5. Μὴ ἔχε πίστιν καὶ πεποίθησιν πρὸς τὸν συκοφάντην, εἰ καὶ πολυχρόνιος εἴη ἡ συνδιατριβή· ὁ γὰρ ὄφις καὶ διὰ πολλοῦ τρεφόμενος καὶ θεραπευόμενος δάκνει.

(1) Ἐνταῦθα ἐννοεῖται μετὰ τοῦ Τυράννου.

6. Ὅςτις κλέπτει τὰ ἀλλότρια, καὶ ἄλλους καταθλίβει, καὶ πορνεύει καὶ μοιχεύει, πῶς ἂν οὗτος ἀγαθὸν εὕροι;

7. Ὅ,τε ὄφις καὶ ὁ συκοφάντης, δβιζίχβας (δίγλωσσος) καλεῖται· ὡς δὲ τὸ αὐτὸ ὄνομα, οὕτω καὶ τὴν αὐτὴν φύσιν ἔχουσι, σκληρὰν δηλονότι καὶ πάντῃ νηλεῆ· δι' ὃ οὐδαμῶς καλοῦ, ἀλλὰ κακοῦ μόνον αἴτιοι πεφύκασιν.

8. Ὁ κακὸς, καθὸ κακὸς, κακὰ ἄλλοις προσάπτει· ἐκ δὲ τούτου τὴν οἰκείαν φυσικὴν κακίαν εἰς φῶς ἄγει.

9. Αἱ μὲν μυῖαι ἕλκη καὶ τραύματα φιλοῦσι καὶ ἐπιποθοῦσιν, οἱ δὲ βασιλεῖς χρήματα καὶ θησαυροὺς, οἱ δὲ φαῦλοι καὶ ἀχρεῖοι μάχην καὶ ἔριν, οἱ δ' ἀγαθοὶ καὶ σπουδαῖοι εἰρήνην καὶ ἀταραξίαν.

10. Καθὼς τὸ δένδρον, ἡ Νίμβα (1), πικρόν ἐστιν ἐξ ἴσου καὶ πρὸς τὸν κόπτοντα αὐτὸ πελέκει, καὶ πρὸς τὸν ποτίζοντα μέλιτι καὶ βουτύρῳ, καὶ πρὸς τὸν στεφανοῦντα, καὶ μυρίζοντα, οὕτω καὶ ὁ κακὸς, κακός ἐστι καὶ πρὸς τὸν κακοποιοῦντα, καὶ πρὸς τὸν ἀγαθοποιοῦντα.

11. Τῶν μὲν πεπαιδευμένων κόσμος ἐστὶν ἡ παιδεία, τῶν δὲ βασιλέων οἱ βουλευταὶ, τῶν δὲ γυναικῶν οἱ ἄνδρες· κοινῶς δ' ἁπάντων κόσμος ἐστὶν, ἡ χρηστοήθεια καὶ ἡ καλοκἀγαθία.

---

(1) Νίμβα, δένδρον μέγα τῆς Ἰνδίας, οὗ ὁ χυμός ἐστι πικρὸς μὲν, ὠφέλιμος δέ. Αὕτη ἡ Νίμβα Πανάκεια κρίνεται παρὰ τοῖς Ἰνδοῖς· τὰ γὰρ φύλλα αὐτῆς καὶ τὰ ἄνθη, καὶ ὁ καρπὸς, καὶ ὁ φλοιὸς, καὶ ἡ ῥίζα, χρήσιμά εἰσιν εἰς θεραπείαν πολλῶν παθῶν.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

1. Ὄλλυται ὁ λαὸς, ὅτε ὁ μὲν βασιλεὺς φύσιν ἔχει λέοντος αἱμοβόρου, οἱ δὲ βουλευταὶ τίγρεων, οἱ δὲ δορυφόροι γυπῶν.

2. Ὅτε ἐξ ἁρπαγῆς καὶ τυραννίας τρέφεται καὶ πιαίνεται τὸ ἐλεφαντικὸν, τὸ ἱππικὸν, τὸ ἁρματικὸν (1), καὶ τὸ πεζικὸν, ἐν καιρῷ πολέμου καὶ αὐτὸς ὁ στρατὸς ὄλλυται, καὶ σὺν αὐτῷ αὐτὸς ὁ βασιλεύς.

3. Ὁ ἐξ ἀδικίας ἐπισωρευθεὶς πλοῦτος, μέχρι δέκα ἐνιαυτῶν διαμένει (2)· ἐλθόντος δὲ τοῦ ἑνδεκάτου ἐνιαυτοῦ, ὅλος ὄλλυται.

4. Ἄμφια, σανδάλια, πολυγάλακτος δάμαλις (3), ἰατρικὸν, σπορὰ καὶ ἐδωδὴ, πάντα ταῦτα ἀγοραστέα, καθὸ ἀναγκαῖα, καθ' ἣν τιμὴν εὑρίσκονται.

5. Πολὺ ὄφελος καὶ κέρδος προέρχεται ἐξ αἰτίας τοῦ ἐργοχείρου καὶ τῆς φιλεργίας· οἱ δὲ ῥάθυμοι καὶ ἀεργοὶ τοῦτο μόνον οἴδασι προτείνειν· «Ὅ,τι εἱμαρμένον, » τοῦτο γενήσεται.»

6. Εἰ καὶ εἰδήμων ἐστὶ μιᾶς ἐπιστήμης ὁ ἄνθρωπος, ἔστω ὅμως ἔμπειρος καὶ ἄλλων πολλῶν ἐπιστημῶν· τοῦτο δὲ οὐ λέγω ἐγὼ μόνος, ἀλλὰ καὶ ἄλλοι σοφοὶ ἄνδρες.

---

(1) Πάλαι οἱ Ἰνδοὶ ἐπολέμουν καὶ ἐφ' ἁρμάτων, ὡς οἱ Ὁμηρικοὶ ἥρωες. νῦν δ' οὐκ ἔστιν ἔθος. Τὸ ἁρματικὸν τοῦ Πώρου κατὰ τοῦ Ἀλεξάνδρου πλεῖον ἦν, ἢ τὸ ἱππικόν.

(2) Οὐ μένει δηλονότι ἐπὶ πολύ.

(3) Ἡ βοῦς παρ' Ἰνδοῖς ἔμβλημμά ἐστι τῆς γῆς· διὰ τοῦτο καὶ τιμῶσι καὶ σέβονται αὐτὴν ὡς θεάν· διὰ δὲ τὸ σέβας καὶ διὰ τὸ γάλα προσέτι, ἕκαστος τῶν Ἰνδῶν, ὃς εὐπορεῖ, τρέφει δάμαλιν ἐν οἴκῳ· οἱ γὰρ Ἰνδοὶ γενικῶς γαλακτοφάγοι εἰσὶν, ὀσπριοφάγοι, καὶ λαχανοφάγοι.

7. Ὅςτις οὐ συνάγει πλοῦτον εὐμαθείας καὶ εὐγλωττίας, οὗτος ἐν συνελεύσει σοφῶν ἀνδρῶν τίνα πλοῦτον δείξεται; τί δηλονότι ἐξερεύξεται;

8. Οἱ ἥρωες, οἱ εὐπαίδευτοι, καὶ αἱ εὐπρόσωποι γυναῖκες, τιμὴν καὶ δεξίωσιν αὐτίκα δὴ μάλα λαμβάνουσιν, εἰς ἥν τινα ἂν χώραν πορευθῶσιν.

9. Οὐκ ἔστιν ὁμοία ἡ σοφία καὶ ἡ βασιλεία· ὁ μὲν γὰρ βασιλεὺς ἐν τῇ ἰδίᾳ χώρᾳ μόνον τιμᾶται καὶ δοξάζεται, ὁ δὲ σοφὸς πανταχοῦ.

10. Ὁ ὢν εὐειδὴς μέν, ἀμαθὴς δέ, ἐλθὼν εἰς σύνοδον ἀνδρῶν πεπαιδευμένων, φυλαττέτω τὴν ἑαυτοῦ βάρβαρον γλῶτταν, καθὼς τὴν ἄτακτον γυναῖκα.

11. Τῶν μὲν πλημμελημάτων ῥίζα ἐστὶν ἡ πλεονεξία, τῶν δὲ νοσημάτων ἡ λαιμαργία, τῶν δὲ θλίψεων καὶ ἀνιῶν ἡ προσπάθεια· ἀφεὶς οὖν ὁ ἄνθρωπος ταῦτα τὰ τρία ἀρχέγονα τῶν κακῶν, ἡδεῖαν καὶ ἱλαρὰν ζωὴν ζήσεται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Τί ὄφελος ἐκ μεγάλου καὶ λαμπροῦ γένους τῷ ὄντι ἀμοίρῳ παιδείας καὶ μαθήσεως; οἱ γὰρ εὐπαίδευτοι, εἰ καὶ δυςγενεῖς, ἴσα τοῖς θεοῖς τιμῶνται.

2. Αἱ ἀρεταὶ πανταχῇ διασπείρουσι τὴν φήμην τῶν ἀγαθῶν καὶ σπουδαίων ἀνδρῶν, κἂν ποῤῥωτάτω διατρίβωσι. Παραδείγματος χάριν· οἱ βομβύλιοι (1), ὀσφραν-

(1) Βομβύλιος, εἶδος μελίσσης· ἔστι δὲ μέλας τὸ χρῶμα καὶ μέγας τὸ σῶμα, καὶ σφόδρα βομβεῖ. Πανταχοῦ τῆς Ἰνδίας εἰσὶ βομβύλιοι, καὶ σχεδὸν ἐν ταῖς οἴκοις.

θέντες μακρόθεν τῆς ἡδείας ὀσμῆς τοῦ ἄνθους, αὐτοὶ αὐτῷ προςφοιτῶσι.

3. Τῶν μὲν κοκκύγων (1) εὐπρέπειά ἐστιν ἡ φωνὴ, τῶν δὲ γυναικῶν ἡ σωφροσύνη· τῶν δὲ δυςμόρφων ἡ παιδεία· τῶν δὲ ἀσκητῶν καὶ ἐγκρατῶν, ἡ ἱλαρότης.

4. Πανταχοῦ αἱ ἀρεταὶ τιμῶνται, τὸ δὲ γένος, κενόν ἐστι καὶ φροῦδον. Παραδείγματος χάριν, τὸν μὲν Κρισνᾶν (2) δι' ἃ εἶχε προτερήματα, ἐκθειάζοντες, προσκυνοῦσιν οἱ ἄνθρωποι· τὸν δὲ πατέρα αὐτοῦ, τὸν Βασουδεύαν, οὐδαμῶς.

5. Ὁ μὲν φιλήδονος καταφρονεῖ τῆς παιδείας καὶ μαθήσεως, ὁ δὲ φιλομαθὴς τῆς ἡδονῆς καὶ τρυφῆς· πόθεν γὰρ φιλομάθεια τῷ ἡδυπαθεῖ καὶ φιληδόνῳ; ἢ πόθεν φιληδονία τῷ φιλομαθεῖ καὶ φιλολόγῳ;

6. Παρὰ τοῖς φιλοπόνοις καὶ τὸ ὕψος τοῦ ὄρους τῆς Μερόης, καὶ τὸ βάθος τοῦ ὑποχθονίου κόσμου, οὐδέν ἐστιν· οὐδὲ μὴν τὸ μέγα καὶ ἀχανὲς πέλαγος ἀδιάβατον αὐτοῖς ἐστι.

7. Μέγιστον ἄχθος ἡ γῆ, πάσχουσα, φέρει ἐκ τῶν ἀνθρωπομόρφων θηρίων, ἅ εἰσιν οἱ κρεωφάγοι, οἱ φίλοινοι (οἰνόληπτοι) (3), καὶ οἱ ἀγράμματοι, καὶ βάρβαροι.

---

(1) Ἐπὶ γλυκείας φωνῆς τὸν κόκκυγα φέρουσι παράδειγμα οἱ Ἰνδοὶ, καθὼς οἱ Ἕλληνες τὴν ἀηδόνα. Πολλοὶ καὶ οἱ κόκκυγες ἐν Ἰνδίᾳ· γλυκυτέραν δ' ἔχουσι τὴν φωνὴν κατὰ τὸ ἔαρ.

(2) Ὁ Κρισνᾶς δοξάζεται καὶ λατρεύεται παρ' Ἰνδοῖς ὡς θεὸς, ὅςτις ἐσαρκώθη, ὡς λέγουσιν, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. Ἰστέον ὡς οἱ Ἰνδοὶ δέκα θείας ἐνσαρκώσεις δοξάζουσιν ἐν διαφόροις ὀνόμασι καὶ μορφώμασιν.

(3) Ἀπηγορευμένη ἐστὶ τοῖς Ἰνδοῖς, καὶ κατεξοχὴν τοῖς Βραχμᾶσιν, ἡ κρεωφαγία καὶ ἡ οἰνοποσία.

ΚΕΦΑΛΑΙΟΝ Η'.

1. Ὁ μὲν πλούσιος, εἰ καὶ ἀγενὴς, εὐγενὴς κρίνεται· ὁ δὲ σοφὸς μὲν καὶ εὐγενὴς, ἀχρήμων δὲ, ἀτιμᾶται, καὶ καταφρονεῖται.

2. Ὅς ἐστιν ἄμοιρος χρημάτων, οὐκ ἔστιν ὅλως ἐνδεὴς καὶ ἀτυχής· (τίνι γὰρ τὰ χρήματα μόνιμα;) ὃς δ' ἐστὶν ἄπειρος μαθήσεως, οὗτος ἐνδεής ἐστι καὶ ἀτυχὴς παντάπασι.

3. Παρὰ τῇ θύρᾳ τῶν πλουτούντων ἵστανται ὡς δοῦλοι οὗτοι πάντες· οἱ μεγάλοι κατὰ τὴν ἡλικίαν, οἱ ἐπίσημοι κατὰ τὴν ἀρετὴν, καὶ οἱ ὀνομαστοὶ κατὰ τὴν σοφίαν.

4. Κρεῖττον τῷ ἀνθρώπῳ ἡ ἐν ἐρήμῳ διαγωγὴ, καὶ ἡ ποηφαγία δίκην ἐλάφου, ἢ τὸ ταπεινὸν καὶ εὐτελὲς τοῦτο ῥῆμα, « Δός. »

5. Οὐκ ἔστιν ὀρθὴ ἡ δόξα αὕτη, ὡς ἄλλος δίδωσι τὰ ἀγαθὰ ἢ τὰ κακά· τὸ γὰρ προπεπραγμένον ἔργον ἀπολαμβάνεται, καὶ τοῦτό ἐστι τὸ αἴτιον τῆς μετασωματώσεως.

6. Ἄλλος μέν ἐστι δοχεῖον μαθήσεως, ἄλλος δὲ πλούτου, ἄλλος δ' ἀμφοτέρων, καὶ ἄλλος οὐδετέρου.

7. Ἡ σειρὰ τῶν γραμμάτων, ἡ γεγραμμένη ἐπὶ τοῦ μετώπου ὑπὸ τοῦ Σιτραγούπτα (1), οὐκ ἂν ἐξαλειφθείη οὔτε ὑπὸ τῶν σοφῶν, οὔτε μὴν ὑπὸ τῶν θεῶν (2).

8. Πάντα ταῦτα σεβαστά εἰσιν· ἡ μήτηρ, ὁ πατὴρ,

---

(1) Τουτέστι, Μυστογράφου· τοῦτο γὰρ σημαίνει ἡ λέξις. Σιτραγούπτας λέγεται ὁ μυστογράφος, τουτέστι, ὁ ἐξ ἀπορρήτων καὶ ἀρχιγραμματεὺς τοῦ παρ' Ἰνδοῖς Ἰάμα, ὅς ἐστιν ὁ παρ' Ἕλλησιν Ἀϊδωνεύς.

(2) Ἄφευκτον δηλονότι τὸ εἱμαρμένον.

ὁ πρεσβύτερος ἀδελφὸς, τὸ κατὰ παράδοσιν ἔθος τῆς ἰδίας γενεᾶς, καὶ ὁ πεπαιδευμένος καὶ σοφὸς ἀνήρ.

9. Τὸ μέλλον γενήσεσθαι οὕτω γίνεται, ὡς ἐπέπρακτο, καὶ εἵμαρτο, καὶ οὐκ ἄλλως πως. Αὐτὸ δὲ τὸ μέλλον, ἢ ἄγεται βίᾳ ὑπὸ τοῦ προπεπραγμένου, ἢ αὐτὸ οἴκοθεν ἔρχεται.

10. Τὸ πεπραγμένον ἔργον ἐν τῇ προτέρᾳ γενέσει, ἤτοι ἀγαθὸν ἢ κακὸν, τὸ αἴτιόν ἐστι τῆς ἀνέσεως ἢ θλίψεως, ἣν ἔχει ὁ ἄνθρωπος ἐν τῇ παλιγγενεσίᾳ· καὶ τοῦτό ἐστιν (ὃ λέγεται) ἡ ἄφευκτος εἱμαρμένη· ὅθεν οὐ λυποῦμαι, οὐδὲ θαυμάζω· τὸ γὰρ ἐμὸν, οὐ γίνεται ἀλλότριον.

11. Τὰ προπεπραγμένα ἀγαθὰ ἔργα διαφυλάττουσι τὸν ἄνθρωπον καὶ ὑπνοῦντα, καὶ ἀφροντιστοῦντα, καὶ κινδυνεύοντα ἐν μέσῳ ἐρήμου, πολέμου, ἐχθρῶν, ὕδατος, καὶ πυρὸς, ἔντε μεγάλῳ καὶ ἀχανεῖ πελάγει, καὶ ἐν δυςβάτῳ καὶ κρημνώδει ὄρει.

ΖΑΓΑΝΝΑΘΑ ΠΑΝΔΙΤΑΡΑΖΑ

ΑΛΛΗΓΟΡΙΚΑ, ΠΑΡΑΔΕΙΓΜΑΤΙΚΑ,

ΚΑΙ

ΟΜΟΙΩΜΑΤΙΚΑ·

ΖΑΓΑΝΝΑΘΑ (1) ΠΑΝΔΙΤΑΡΑΖΑ

ΑΛΛΗΓΟΡΙΚΑ, ΠΑΡΑΔΕΙΓΜΑΤΙΚΑ,

ΚΑΙ

ΟΜΟΙΩΜΑΤΙΚΑ (*).

Οἱ μὲν ἄῤῥενες μανικοὶ ἐλέφαντες ἀκούονται φυγόντες εἰς τὰ πέρατα τῆς οἰκουμένης· οἱ δὲ θήλεις ἄξιοί εἰσιν ἐλέους· τὰ δὲ λοιπὰ ζῶα οὐκ εἰσιν ἰσοδύναμα· νῦν

---

(1) Οὗτος ὁ Ζαγαννάθας ἦν Βραχμὰν, ἀνὴρ σοφὸς, καὶ ποιητὴς ἔξοχος· ἔλαβε δὲ τοῦτο τὸ ἐπίθετον, Πανδιταράζα, (ὅ ἐστι, κορωνὶς τῶν ἐλλογίμων) παρὰ τοῦ μεγαλόφρονος Ἀκβάρου, ὃς κατήγετο ἐκ γένους τουρκικοῦ, καὶ ἐβασίλευε τῆς Ἰνδίας, καὶ ᾧ σύμβουλος ἦν, καὶ συμπότης. Ζαγαννάθα μεθερμηνεύεται παντοκράτωρ· ἔστι δ' ἐπιθετικὸν ὄνομα τοῦ Θεοῦ· ἔθος γάρ ἐστι παρὰ τοῖς Ἰνδοῖς ἀποδιδόναι τοῖς ἀνθρώποις, ὡς κύρια ὀνόματα, τὰ ἐπιθετικὰ ὀνόματα τοῦ Θεοῦ.

(*) Ἐκ τῶν συγγραμμάτων τοῦ Βατριχαρῆ βασιλέως, καὶ τοῦ Ζαγαννάθα Πανδιταράζα σώζεται εἰς χεῖρας τοῦ σεβασμιωτάτου ἱεράρχου Ἀττικῆς, Κυρίου Νεοφύτου, ἕτερον χειρόγραφον τοῦ ἀοιδίμου Δημητρίου Γαλανοῦ, τὸ ὁποῖον διευθύνετο πρὸς τὸν ἀοίδιμον Κόμητα Ἰωάννην Καποδίστριαν, ὡς ἐκ τῆς ἐν αὐτῷ ἐξῆς προσφωνήσεως γίνεται δῆλον·

« Τῷ Ἀξιοπρεπεῖ ἀνδρὶ, Κόμητι Καποδίστρια, Κυρίῳ Ἰωάννῃ, τῷ Προέδρῳ καὶ Κυβερνήτῃ τῆς Ἑλλάδος· Δημήτριος Γαλανὸς ὁ Ἀθηναῖος πέμπει, ὡς δῶρον ἐξ Ἰνδίας ἀξιόλογον, τοῦτο τὸ Ἀλληγορικὸν ἐγχειρίδιον Ζαγαννάθα Βραχμᾶνος, μεταγλωττισθὲν ἀπὸ τοῦ Βραχμανικοῦ εἰς τὸ Ἑλληνικὸν, χάριν τῶν φιλολόγων νέων τοῦ Ἑλληνικοῦ Γένους. ͵αωλα'. Ἀπὸ τῆς Ἱεραπόλεως Κασσῆς, τῆς καὶ Βαρανασῆς λεγομένης. »

Ἀλλ' ἐπειδὴ ἔφθασε μετὰ τὸν θάνατον τοῦ Κυβερνήτου, παρέλαβε καὶ διέσωσε τὸ χειρόγραφον τοῦτο ὁ ἅγιος Ἀττικῆς.

(Σημ. τῶν Ἐκδ.)

δὲ κατὰ τίνος πάλιν οὗτος ὁ λέων (1) ἐν τούτῳ τῷ κόσμῳ δείξει τὴν ἐμπειρίαν τῶν ἀσυγκρίτων τῇ ὀξύτητι ὀνύχων;

2. Εἰπὲ, πῶς ἂν ζήσειε νῦν ἐν τέλματι, πλήρει βατράχων πολλῶν, οὗτος ὁ ἡγεμὼν τῶν χηνῶν (2), οὗ ἡ ζωὴ διηνύθη πρότερον ἐν ὕδασι τῆς λίμνης Μανασσάρας (3), ἃ γίνονται εὐώδη ἐκ τοῦ πίπτοντος χνοῦ τῶν διεκπεταννυμένων λωτῶν (4);

3. Ἆρα ἁρμόζει νῦν, ὦ ποιητὰ Βραχμᾶ, νέφη συνεχῆ ἐπισκοτίζειν τὴν ἀνατέλλουσαν σελήνην (5), ὅτε οἱ

---

(1) Ἀλληγορεῖται εἰς ἥρωα καὶ νικητὴν, οὗ οἱ μὲν δυνατοὶ ἐχθροὶ κατεβλήθησαν, καὶ πόῤῥωτάτω ἀπεδιώχθησαν· ἀλύμαντοι δ' ἔμειναν αἱ γυναῖκες αὐτῶν, καὶ ἄλλοι ὁμοῦ ἀδύνατοι βασιλεῖς. Ἴδιον γὰρ ἥρωος, καὶ ἔπαινος μάλιστα, ἡρωϊκὴν δύναμιν δεικνύειν κατὰ τῶν ἰσοδυνάμων, καὶ οὐχὶ κατὰ τῶν ἀδυνάτων, καὶ μάλιστα κατὰ τῶν θηλειῶν.

(2) Ἀλληγορεῖται εἰς τὸν ἐκπεπτωκότα τῆς ἧς εἶχε μεγάλης δόξης καὶ τρυφῆς, οἷον, εἰς τὸν μέγαν ἐκεῖνον Ναπολέοντα, ὃς ἐξωρίσθη εἰς μίαν νῆσον ὀρεινὴν, καὶ ἀπέθανε μετ' ὀλίγον, θλιβόμενος ἐκ τῆς ἐρημικῆς διαγωγῆς, καὶ ἐκ τῆς ἀπανθρωπίας μάλιστα τοῦ εὐτελοῦς ἐξουσιαστοῦ τῆς νήσου.

(3) Μανασσάρα, λίμνη μεγίστη καὶ χαριεστάτη ἐν Ἰμαῷ τῷ ὄρει, ἔνθα τῶν διαιτωμένων χηνῶν τροφή ἐστι, μαργαρῖται, ὡς μυθολογοῦσι.

(4) Λωτὸς, ἄνθος κρινοειδὲς, φυόμενον ἐν λίμναις.

(5) Ἀλληγορεῖται εἰς ἄνδρα ἀξιόλογον, δυστυχοῦντα, ἢ πάσχοντα, εἰς ὃν ἤλπιζον πολλοί. Λέγουσιν, ὅτι ὁ πέρδιξ κλίσιν ἔχει μεγάλην πρὸς τὴν ἀνατέλλουσαν σελήνην, καὶ διὰ τοῦτο ἐνατενίζων, ἥδεται ταῖς ἀμβροσίαις αὐτῆς ἀκτῖσι· καὶ ὅτι ἡ σελήνη γανοῖ τοὺς νυκτανθεῖς λωτοὺς, καὶ διεγερτική ἐστι τοῦ ἔρωτος, καὶ διὰ τοῦτο αἱ γυναῖκες, αἳ ἐκ ζηλοτυπίας καὶ ἰσχυρογνωμοσύνης οὐ προσήρχοντο τοῖς ἀνδράσι κατὰ τὴν ἡμέραν, προσέρχονται, καὶ συγγίνονται κατὰ τὴν νύκτα, βιαζόμεναι οἴκοθεν, καὶ οἰστρηλατούμεναι, ἀνατελλούσης τῆς σελήνης. Εἰσὶ δὲ ταῦτα, φαντασίαι τῶν ποιητῶν.

μὲν πέρδικες ἐνατενίζουσι κατὰ τὴν ἀνατολὴν βλέμματι τεταραγμένῳ ἐξ ἐπιθυμίας, οἱ δὲ νυκτανθεῖς (1) λωτοὶ διεκπετάννυσθαι ἄρχονται, ὁ δὲ ἔρως κραδαίνει τὸ τόξον, ἡ δ' ἰσχυρογνωμοσύνη τῶν ζηλοτύπων γυναικῶν ἀναχωρῆσαι θέλει;

4. Ἐμβομβείτωσαν ἔμπροσθέν σου ἡδέως οἱ βομβύλιοι, ὦ ἀγλαὲ λωτὲ (2), οἱ λείχοντες τὸν ῥέοντα γλυκὺν χυμόν σου. Ἄλλος ὅμως ἀληθὴς φίλος σοί ἐστιν, οὗτος ὁ ἀὴρ, ὃς διατανύει φέρων τὴν εὐωδίαν σου εἰς πᾶν μέρος, ἄνευ οἰκείου τέλους.

5. Ὦ Κουτάξα (3), προσελθόντος σοι κατὰ συγκυρίαν τοῦ βομβυλίου, μὴ καταφρονήσῃς αὐτοῦ· οὗτος γὰρ τιμῆς μεγάλης ἀξιοῦται παρὰ τοῖς λωτοῖς, τοῖς ἔχουσι χυμὸν ἡδὺν καὶ πολύν.

6. Διάνυσον, ὦ κόκκυξ (4), ταύτας τὰς ἀηδεῖς ἡμέ-

---

(1) Τῶν λωτῶν οἱ μέν εἰσι νυκτανθεῖς, οἱ δὲ ἡμερανθεῖς.

(2) Ἀλληγορεῖται εἰς ἔνδοξον καὶ πλούσιον, ὃν οἱ μὲν παράσιτοι ἔμπροσθεν μόνον κολακεύουσι, καὶ ἐπαινοῦσιν· ὁ δ' ἀληθὴς φίλος διαφημίζει αὐτὸν εἰς πᾶν μέρος τῆς γῆς, μὴ ἀφορῶν εἴς τι λῆμμα.

(3) Ἀλληγορεῖται εἰς μικροπρεπῆ καὶ μικρόφρονα, ὃς καταφρονεῖ ἀξίου καὶ σπουδαίου ἀνδρὸς, ὃν οἱ μεγαλοπρεπεῖς καὶ μεγαλόφρονες διὰ πολλῆς τιμῆς ἄγουσιν· ἀλληγορεῖται δὲ καὶ εἰς ἄνδρα ἀξιόλογον, ὃς ἄξιός ἐστι τιμῆς παρὰ πᾶσι, μικροῖς τε καὶ μεγάλοις.—Κουτάξα, φυτὸν εὐτελὲς, οὗ τὸ ἄνθος ἄχυμόν ἐστι καὶ ἄχαρι.

(4) Τοῦτο ἀναφέρεται ἀλληγορικῶς εἰς τὸν ὄντα ἐν δυσημερίᾳ, ἢ ἀῤῥωστίᾳ. Ὅμοιον δ' ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ἄνθρωπε, ὢν ἐν δυσημερίᾳ, μὴ ἀπελπίζου, ἀλλ' ἔχε ἐλπίδα καὶ ὑπομονὴν, ἕως ἂν ἀναλάμψῃ ἡ εὐημερία.—Ὁ κόκκυξ Κοκιλὰ λέγεται ἰνδιστί· ἡδύτερον δὲ φωνεῖ, καὶ οἱονεὶ νεάζει περὶ τὸ ἔαρ, καὶ γεύεται τῶν ἁπαλῶν φύλλων καὶ ἀνθέων τῆς Ἄμρας, ἧς ἡ ὀπώρα ἡδυτέρα ἐστὶν ἁπασῶν τῶν ἐν Ἰνδίᾳ. Ἅμα καὶ Ἄμβα λέγεται κοινῶς ἡ Ἄμρα, τό, τε δένδρον, καὶ ἡ ὀπώρα.

ρας, μένων ἐντὸς τοῦ ἄλσους, ἕως ἂν ἀνθήσῃ καὶ ἀναβλαστήσῃ ἡ Ἄμρα, ἔχουσα περὶ ἑαυτὴν ἑσμὸν βομβυλίων.

7. Διὰ τί μελαγχολᾷς, ὦ λωτὲ (1), ὡς καταφρονούμενος ὑπὸ τῶν ἀσυνέτων λάρων; ζήτωσαν ἐπὶ μήκιστον ἐν κόσμῳ οἱ βομβύλιοι, οἱ γινώσκοντες τὸν ἡδύν σου χυμόν.

8. Μηδέποτ' ἔχε λύπην, ὦ φρέαρ (2), ὅτι λίαν ταπεινὸν εἶ, καὶ ἐν βάθει τῆς γῆς· σὺ γὰρ λίαν πότιμον ὕδωρ ἐντὸς ἔχεις, ὃ ἀρύεται ὑπὸ τῶν φιλοκάλων.

9. Φεῦ! πῶς ἔφεσιν σχοίη ἂν τοῦ εὐτελοῦς ἄνθους Κουτάζα ὁ βομβύλιος (3), οὗ αἱ ἡμέραι διηνύθησαν ἐν τῷ πολυχύμῳ καὶ εὐανθεῖ λωτῷ;

10. Ὑπὸ τίνος γλώσσης, Ὦ Σάνδανον (4), ἐπαινεθείη ἂν αὕτη σου ἡ μεγαλοφυία; σὺ γὰρ διὰ τῆς ἐκπεμ-

---

(1) Ἀλληγορικῶς ἀναφέρεται τοῦτο εἰς ἀγαθὸν καὶ σπουδαῖον ἄνδρα, ὃς ὑπὸ μὲν φαύλων καὶ βαρβάρων, οἵ εἰσι μισόκαλοι, μισεῖται καὶ καταφρονεῖται· ὑπὸ δὲ σπουδαίων καὶ φρονίμων, οἵ εἰσι φιλόκαλοι, ἀγαπᾶται καὶ τιμᾶται.—Βομβύλιος, μέλισσα μέλαινα μεγάλη· τοῦτον τὸν βομβύλιον φέρουσιν εἰς παράδειγμα οἱ Ἰνδοὶ ἐπὶ φιλανθείας, ὡς ἀγλαὸν καὶ μέγαν ὄντα, καὶ μέγα βομβοῦντα· ἡ γὰρ Ἰνδικὴ μέλισσα οὐκ ἔστιν ἀγλαά, ὡς ἡ Ἑλληνικὴ, ἀλλὰ δυσειδὴς, μελανοειδὴς, καὶ μικρὰ, ὡς μυῖα.

(2) Ἀλληγορεῖται εἰς τὸν ὄντα μὲν ἐξ εὐτελοῦς καὶ ταπεινοῦ γένους, ἔχοντα δὲ μάθησιν καὶ ἄλλας ἀρετὰς, ἀνθ' ὧν καὶ τιμᾶται. — Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

(3) Ἀλληγορικῶς ἀνάγεται εἰς τὸν πεσόντα ἐξ ἀνέσεως καὶ εὐτυχίας εἰς ταλαιπωρίαν καὶ ἀτυχίαν. Ὅμοιον δ' ἂν εἴη, ὥσπερ εἰ ἔλεγε· πῶς ἂν ζήσειεν ἐν κακοπαθείᾳ, ὃς ἔζησεν ἐν εὐπαθείᾳ;

(4) Ἀλληγορικῶς ἀνάγεται εἰς ἀγαθοποιὸν, ὃς ἀγαθὰ ποιεῖ καὶ πρὸς κακούς.—Σάνδανον, δένδρον μέγα, οὗ τὸ ξύλον εὐῶδές ἐστιν, ὡς τὸ τῆς κυπαρίσσου· φύεται δὲ κατὰ τὸ νότιον μέρος τῆς Ἰνδίας. Ἐπὶ τούτου τοῦ δένδρου ὄφεις διαιτῶνται, λέγουσιν.

πομένης εὐωδίας εὐφραῖνον τρέφεις τοὺς ἐκπέμποντας φάρμακον ὄφεις.

11. Τίς, ὦ Σάνδανον (1), μιμηθῆναι δύναται τοῦτό σου τὸ χρηστὸν ἦθος καὶ ἰδίωμα; σὺ γὰρ, καὶ τριβόμενον, εὐφροσύνην καὶ τέρψιν ποιεῖς διὰ τῆς εὐωδίας καὶ αὐτοῖς τοῖς τρίβουσί σε.

12. Εἰ σὺ, ὦ χὴν (2), ἀμέλειαν ἔχεις τοῦ διακρῖναι τὸ γάλα ἀπὸ τοῦ ὕδατος, τίς ἐν τούτῳ τῷ κόσμῳ νῦν διαφυλάξει τὰ νόμιμα καὶ ἔθιμα τῆς ἑαυτοῦ φυλῆς;

13. Εἰσί τινες ὑπέρτεροι πάντων τῶν ἐν κόσμῳ (3), οἳ ἔξωθεν μὲν φαίνονται, ὡς ὀξεῖαι μάχαιραι, καὶ σκληροὶ, ὡς ὄφεις, ἔνδοθεν δὲ γλυκύτεροί εἰσι τοῦ χυμοῦ τῆς σταφυλῆς.

14. Ποιείτωσάν σοι βόμβους οἱ βομβύλιοι, ὦ λωτὲ (4), οἱ ἐκμυζῶντες τὸν χυμόν σου ἐλευθέρως· ἄλλος

---

(1) Ἀναφέρεται ἀλληγορικῶς εἰς τὸν ἀγαθοποιοῦντα καὶ αὐτοὺς τοὺς κακοποιοῦντας αὐτόν.—Τὸ Σάνδανον (Σανδὰλ ἀραβιςὶ) τρίβοντες σὺν ὕδατι, ἀλείφουσι τὸ σῶμα, ἢ τὸ μέτωπον, ἢ τὸ στῆθος ἐν ὥρᾳ θέρους· οὐ μόνον γὰρ εὐῶδές ἐστιν, ἀλλὰ καὶ ψυκτικόν. Διὰ τούτου τοῦ εὐώδους ξύλου καίουσι καὶ τὰ σώματα τῶν θανόντων πλουσίων.

(2) Ἀνάγεται ἀλληγορικῶς εἰς βασιλέα, ὃς οὐ διακρίνει τὸ δίκαιον ἀπὸ τοῦ ἀδίκου, οὐκ ἔστι δηλαδὴ δίκαιος καὶ ἔννομος· ὅτε δὲ ὁ βασιλεὺς ἄδικός ἐστι καὶ ἄνομος, καὶ ὁ λαὸς τοιοῦτος ἔσεται.—Λέγουσιν, ὡς ὁ χὴν τοιαύτην φύσιν ἔχει, ὥστε, εἰ συγκραθείη γάλα ὕδατι, τὸ γάλα μόνον ἐκμυζᾷ, καὶ ἀφίησι τὸ ὕδωρ, ὡς ἄχρηστον.

(3) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ὅσοι κατὰ μὲν τὸ φαινόμενον ὀξύθυμοί εἰσι, καὶ σκληροὶ, φύσει δὲ εὔσπλαγχνοι, οὗτοι πάντας ὑπερβαίνουσιν, ὡς ὄντες καθαροὶ τῇ καρδίᾳ.

(4) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγε· κολακευέτωσάν σε, ὦ βασιλεῦ, ματαίως οἱ παράσιτοι· ἄλλος ὅμως ἐκτὸς τοῦ σοφοῦ καὶ ποιητοῦ οὐκ ἔστιν ἐπιτήδειος διαφημίσαι τὸ σὸν ὄνομα εἰς πᾶσαν τὴν γῆν.

ὅμως ἐκτὸς τοῦ ἀέρος οὐκ ἔστιν ἐπιτήδειος φέρειν τὴν εὐωδίαν σου εἰς πάντα τὰ μέρη.

15. Ἄχρηστός ἐστι καὶ ἀρᾶς ἀξία ἡ ὕπαρξις τῆς Θαλάσσης (1)· εὔχρηστος δὲ καὶ ἀξία εὐλογίας ἡ ὕπαρξις τῆς παρὰ τῇ ὁδῷ λίμνης· αὕτη γὰρ φθίνει ἐκ τοιούτων συνεχῶν διαλογισμῶν· «ἐμοῦ ξηρανθείσης ἐντὸς »ὀλίγου ἐκ τῶν θερινῶν ἀκτίνων τοῦ ἡλίου, πρὸς τίνα »καταφεύξονται οἱ ὁδοιπόροι οὗτοι, θλιβόμενοι θερμότητι »πολλῇ;»

16. Σοῦ γενομένης ἀνίκμου, ὦ λίμνη (2), οἱ μὲν φίλυδροι ὄρνεις ἀνίπτανται, καὶ εἰς ἑτέραν ἔρχονται· οἱ δὲ βομβύλιοι, στερηθέντες τῶν λωτῶν, εἰς τὰ ἄνθη τῆς Ἄμρας ἔρχονται· οἱ δ' ἄθλιοι ἰχθύες ὁποίαν κατάστασιν ἕξουσι;

17. Μὴ νομίσῃς, ὦ λωτὲ, ὡς ὁ ἀὴρ (3) ἔφεσιν ἔχει

(1) Ἡ μὲν πολύϋδρος καὶ ἁλμυρὰ θάλασσα φέρεται ἀλληγορικῶς εἰς τὸν ἔχοντα πολλὰ, ἄχρηστα τοῖς χρείαν ἔχουσιν· ἡ δὲ ὀλιγόϋδρος καὶ πότιμος λίμνη εἰς τὸν ἔχοντα ὀλίγα, εὔχρηστα τοῖς χρῄζουσιν. Ὅμοιον δ' ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ἐπάρατοι, οἱ ἔχοντες πολλὰ, καὶ μὴ μεταδιδόντες αὐτῶν τοῖς χρῄζουσι· μακάριοι δὲ, οἱ ὀλίγα ἔχοντες, καὶ μεταδιδόντες αὐτῶν, καὶ φροντίδα ποιοῦντες τῶν δεομένων. Σημείωσαι, ὅτι αἱ μικραὶ λίμναι ἐν Ἰνδίᾳ ξηραίνονται ἐν ὥρᾳ θέρους ἐκ τῶν θερμῶν ἀκτίνων τοῦ ἡλίου.

(2) Ἀλληγορικῶς τοῦτο ἀναφέρεται εἰς πλούσιον φιλελεήμονα καὶ φιλόπτωχον, ἀποπνεύσαντα, ἢ πτωχεύσαντα, εἰς ὃν ἤλπιζον πολλοὶ, νέοι καὶ γέροντες, καὶ τυφλοὶ, καὶ χωλοί· οἱ μὲν γὰρ νέοι δύνανται πρὸς ἄλλον πορευθῆναι· οἱ δὲ γέροντες καὶ οἱ λοιποὶ πρὸς τίνα πορευθήσονται, μὴ δυνάμενοι;

(3) Ὁ μὲν ἀὴρ ἀλληγορεῖται εἰς τὸν λαμβάνοντά τι παρ' ἄλλου εἰς χρῆσιν καὶ ὠφέλειαν ἄλλων· ὁ δὲ βομβύλιος εἰς τὸν λαμβάνοντά τι παρ' ἄλλου εἰς χρῆσιν καὶ ὄφελος ἑαυτοῦ.

τῆς εὐωδίας σου εἰς οἰκείαν τέρψιν, ὡς ὁ βομβύλιος· ἐκεῖνος γὰρ ὁ μεγαλόφρων λαμβάνει τὴν εὐωδίαν σου, ὡς ἐπαίτης, εἰς εὐφροσύνην καὶ τέρψιν ἄλλων.

18. Βομβοῦντος τοῦ βομβυλίου ἡδέως, ὦ Μαλατὴ (1), μὴ συμμύσῃς, ἀλλ' ἀναπέτασον τὰ φύλλα, καὶ ὑπόδεξαι αὐτόν· αὐτὸν γὰρ φέρουσι μετὰ τιμῆς ἐπὶ τῆς ἑαυτῶν κορυφῆς τὰ μεγαλόδωρα οὐράνια δένδρα.

19. Πῶς ἐπαινέσωμεν τὴν μεγαλοφυίαν σου, ὦ Σάνδανον (2); σὺ γὰρ φέρεις ὄφεις, ἐξ ὧν οὐδεὶς τῶν ἀγαθῶν προσέρχεταί σοι, καί τοι ἔχεις ἀρετὰς πολλάς.

20. Σὺ, ὦ βομβύλιε (3), ὃς τίθῃς τὸν πόδα ἐπὶ τοῦ ἄνθους τοῦ οὐρανίου δένδρου, οὗ ἡ εὐωδία ἀσύγκριτός ἐστιν, εἰ ἀγαπᾷς φοιτᾷν καὶ εἰς ἕτερον εὐτελὲς ἄνθος, ἀρᾶς εἶ ἄξιος καὶ μίσους.

21. Διὰ πολλοῦ σκέψαι τοῦτο, ὃ λέγω, ὦ ποταμέ (4)· «Ἆρα σὺ, ὁ ἔχων τὴν πηγὴν ἐκ τοῦ ἱεροῦ ὄρους

---

(1) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ἄξιός ἐστι τιμῆς παρὰ πᾶσιν, ὃς τιμᾶται ὑπὸ μεγάλων ἀνδρῶν.—Μυθολογοῦσιν, ὡς πέντε δένδρα εἰσὶν ἐν τῷ οὐρανίῳ παραδείσῳ, ἃ δωροῦνται πᾶν ἀγαθὸν καὶ ἐφετὸν τοῖς τε θεοῖς καὶ τοῖς λοιποῖς οὐρανοπόλαις.—Μαλατὴ καὶ τὸ φυτὸν καὶ τὸ ἄνθος, ὃ λέγεται νῦν κοινῶς ἐν Ἑλλάδι Ἰασιμὴ, ἥ ἐστι λέξις Περσική.

(2) Ἀλληγορεῖται εἰς ἄνδρα ἀγαθὸν, ὃς ἔχει παῖδας κακοὺς, ἢ φίλους δυστρόπους, καὶ ὑποφέρει αὐτοὺς ἐκ συνηθείας, μηδαμῶς φροντίζων τῆς τῶν ἄλλων ἀπεχθείας. Λέγουσιν, ὡς ὄφεις περιπεπλεγμένοι εἰσὶ περὶ τοὺς κλάδους τοῦ δένδρου Σανδάνου.

(3) Ἀλληγορεῖται εἰς τὸν ἔχοντα μὲν γυναῖκα εὐγενῆ καὶ εὐειδῆ, ἐρχόμενον δ' εἰς ἑτέραν δυσγενῆ καὶ δυσειδῆ.

(4) Ἀλληγορικῶς ἀναφέρεται εἰς τὸν ὄντα μὲν ἐκ γενεᾶς καὶ φυλῆς ἱερᾶς καὶ μεγάλης, δεχόμενον δὲ βρῶσιν ἢ πόσιν ἐκ χειρὸς ἐλαχίστης καὶ ἀκαθάρτου φυλῆς. Ὅμοιον δ' ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ἆρα σὺ, ὁ ὢν ἱερὸς καὶ ἁγνὸς, ἄξιος εἶ γεύεσθαι ἀκαθάρτων καὶ μιαρῶν, εἰ καὶ πεινῶν εἶ;

» Βινδδέα, καὶ καθαρὸς ὢν, ἄξιος εἶ δέχεσθαι τὸ ἐκ τῶν » ἀγυιῶν τῶν πόλεων ῥέον ἀκάθαρτον ὕδωρ, εἰ καὶ ἄνικ-» μος εἶ; »

22. Εἰπέ, ὦ δένδρον Βαρβούρα, τίνος χάριν προσέλθωμέν σοι; σὺ γὰρ οὐδέ ποτ' ἐφάνης, ὅτι ἔχεις φύλλα καὶ ἄνθη, ἢ καρπὸν, εἰς χρῆσιν ἀνήκοντα· μάλιστα δὲ πλῆρες ἀκανθῶν ὑπάρχεις (1).

23. Σὺ, ὦ κόκκυξ, εἶς καὶ μόνος εἶ ἐν τούτῳ τῷ ἄλσει· ὅρα οὖν, μήποτε μελῳδήσῃς· οὗτοι γὰρ οἱ ἄσπονδοι κολοιοὶ, νομίζοντες ὡς ὁμογενὴς εἶ, οὐκ ἀποκτενοῦσί σε (2).

24. Ὦ πάτερ τῆς Θεᾶς Παρβατῆς Ἰμαὲ, διὰ τί τέλος φέρεις ταύτην τὴν πολλὴν χιόνα, ἣ ἀφαιρεῖται τὴν ἀγλαΐαν τῶν δένδρων, καὶ θλῖψιν δίδωσι πάσῃ ψυχῇ ζώσῃ (3);

Ἀναφέρεται δὲ καὶ εἰς Ἱερομόναχον, ὃς ἀρνησάμενος τὰ τοῦ κόσμου, συμφύρεται πάλιν αὐτοῖς. — Βινδδέα, ὄρος μέγα καὶ ὀνομαστὸν, κείμενον ἐν μέσῳ σχεδὸν τῆς Ἰνδικῆς γῆς, καὶ διαχωρίζον αὐτὴν εἰς δύω, εἰς νοτίαν, καὶ ἀρκτῴαν, ἐκτεινόμενον ἀπὸ τοῦ ἑσπερίου μέρους ἐπὶ τὸ ἑῷον· πολλοὶ ποταμοὶ τὰς πηγὰς ἔχουσιν ἐκ τούτου τοῦ ὄρους, καὶ ῥέουσιν ἄλλοι μὲν εἰς τὴν νοτίαν, ἄλλοι δὲ εἰς τὴν ἀρκτῴαν γῆν τῆς Ἰνδίας.

(1) Τοῦτο ἀλληγορικῶς ἀναφέρεται εἰς ἄνθρωπον, μηδεμίαν προξενοῦντα ὠφέλειαν, τοὐναντίον δὲ ζημίαν, ᾧ οὐ δεῖ προσέρχεσθαι. — Βαρβούρα (Βαβοὺρ κοινῶς), δένδρον ἀκανθῶδες, ὃ ἔχει φύλλα μικρὰ, καὶ ἄνθη μηδεμίαν ἔχοντα εὐωδίαν, καὶ καρπὸν ποιεῖ ἄβρωτον.

(2) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ὁ φρόνιμος καὶ ἀγαθὸς ἄνθρωπος, συνὼν βαρβάροις καὶ κακοῖς, ὑπόκρισιν ποιείτω, καὶ τὰ αὐτὰ ἤθη καὶ φρονήματα ἐχέτω, ἃ ἐκεῖνοι ἔχουσιν· οὕτω γὰρ ποιῶν, σωθήσεται· ἄλλως δὲ, κίνδυνός ἐστιν. Ὁ κόκκυξ (ὃς κοκιλὰ Ἰνδιςὶ λέγεται) τὸ αὐτὸ χρῶμα καὶ σῶμα σχεδὸν ἔχει, ὡς καὶ ὁ κολοιὸς, καὶ μελῳδικώτερος κρίνεται πάντων, καὶ διὰ τοῦτο εἰς παράδειγμα φέρεται ἐπὶ μελῳδίας· ἐν γὰρ Ἰνδίᾳ οὐκ ἔστιν οὔτε χελιδὼν, οὔτ' ἀηδών.

(3) Τοῦτο ἀλληγορικῶς φέρεται εἰς τὸν ἔχοντα γυναῖκα κακὴν, καὶ

25. Μὴ καταφρονήσῃς, ὦ νεβρὲ ἐλέφαντος, τούτου τοῦ βομβυλίου (1) προσφοιτῶντός σοι· οὗτος γὰρ φέρεται ἐπὶ κορυφῆς καὶ ὑπὸ μεγάλων ἐλεφάντων, μανικὸν χυμὸν ἐχόντων.

26. Μεγάλη θλίψις ἐστι τῷ βομβυλίῳ (2), τὸ προσφοιτᾷν ἄνθεσιν εὐτελέσιν, ὃς πρότερον ἐπειράθη κατὰ κόρον τῆς γλυκύτητος τῶν ἀνθέων τοῦ οὐρανίου δένδρου.

27. Ὑπ' ἐμοῦ τοῦ βομβυλίου (3), ὦ Ἄμρα, πολλὰ δένδρα ὡράθησαν, καὶ πολλοὶ κόκκυγες ἠρωτήθησαν, οἳ ἐπειράθησαν· σὺ δ'ὅμως οὐδενὶ σύγκρισιν ἔχεις ἐν κόσμῳ.

28. Οἵα ῥῶσις καὶ ἄνεσις ἐγένετο, ὦ κηπουρὲ, καὶ δι' ὀλίγου ὕδατος ὑπὸ σοῦ τῷ δένδρῳ τούτῳ ἐν ὥρᾳ θέρους χεομένου, ὅτε θερμὸς ἦν ὁ ἥλιος, τοιαύτη οὐχ οἷά τε ἐστὶ γενέσθαι νυνὶ ἐν ὥρᾳ τῶν περιοδικῶν ὄμβρων

ὑποφέροντα αὐτήν· τοιοῦτος ἦν ὁ Σωκράτης. Αὕτη ἡ θεὰ Παρβατὴ θυγάτηρ ἐστὶ τοῦ ὄρους Ἰμαοῦ, (ὃς λέγεται βασιλεὺς τῶν ὀρέων) καὶ παράκοιτις τοῦ Θεοῦ Σίβα. Παρβατὴ, κατὰ κυριολεξίαν, Ὀρειάς. Παρβάτα Ἰνδιστὶ, ὄρος.—Ὁ Ἰμαὸς κατὰ τὸ βόρειον μέρος τῆς Ἰνδίας κεῖται, ὃς καὶ διαχωρίζει αὐτὴν ἀπὸ τῆς Σκυθίας, καὶ λίαν χιονοβολεῖται.

(1) Ἀλληγορεῖται εἰς ἄνδρα ἀξιόλογον, ὃς τιμητέος ἐστὶ παρὰ πᾶσι μικροῖς τε καὶ μεγάλοις.—Ὅτε ὁ ἐλέφας οἰστρηλατεῖται, μαίνεται, καὶ ἐκ τῶν κροτάφων χυμὸς ἐκρέει. Οἱ δὲ ποιηταὶ, πλάττοντες, λέγουσιν, ὡς ὁ χυμὸς ἐκεῖνος εὔοσμός ἐστι, καὶ διὰ τοῦτο αὐτῷ οἱ βομβύλιοι προσφοιτῶσιν. Ἔςι δὲ τοῦτο φαντασία ποιητική· ὁ γὰρ χυμὸς ἐκεῖνος οὐκ ἔστιν εὔοσμος, τοὐναντίον δὲ βορύοσμος, καὶ δύσοσμος.

(2) Ἀλληγορεῖται εἰς ἐκεῖνον, ὃς πρότερον μὲν ἔζη μεγαλοπρεπῶς, εὐτυχῶν, εἶτα δὲ ζῇ μικροπρεπῶς, δυστυχῶν, καὶ διὰ τοῦτο θλίψιν ἔχει μεγάλην.

(3) Ἀλληγορεῖται εἰς ἄνδρα, ὃς τῇ ἀγαθότητι ὑπερβαίνει πάντας ἐκ πείρας.

ὑπὸ τοῦ νέφους, ὃ βρέχει ἀφειδῶς καὶ ῥαγδαίως (1).

29. Σὺ, ὦ νεφέλη (2), ὑπὸ τοῦ Βραχμᾶ πεμφθεῖσά ποθεν, ὡς δοκεῖ, ἐπότισας τὴν Σαμπάκαν, τὴν οὖσαν ἐν ἀμμώδει τόπῳ καὶ ἐν δεινῇ στάσει· ὁ μὲν γὰρ κηπουρὸς ἀδιάκριτος ἦν· ἡ δὲ γῆ ἄνυδρος· ὁ δὲ θερμὸς ἥλιος δυσφόρητος· τὸ δὲ πᾶν ἐταράττετο ὑπὸ σφοδρῶν ἀνέμων.

30. Βαβαί! ὑλακὴ κυνολύκων (3) γίνεται νυνὶ πρὸ τῆς θύρας τοῦ λέοντος, θανόντος· ἔνθα πρότερον ἐμμανεῖς ἐλέφαντες στῆναι οὐκ ἠδύναντο, εἰς ἄκρον φοβούμενοι.

31. Ὁ φυτοκόμος οὗτος (4) τὸ αὐτὸ φίλτρον εἶχε πρὸς πάντα τὰ φυτά· πρὸς δὲ τὴν νεόφυτον Βακουλὰν

---

(1) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· οἵαν ἀνάῤῥωσιν καὶ ἄνεσιν δίδωσι τῷ ἀνθρώπῳ καὶ τὸ ὀλίγον βρῶμα καὶ πόμα, ὅτε ἀνάγκη ἐστὶ καὶ ἔνδεια, τοιαύτην οὐ δίδωσι τὸ πολὺ, ὅτε οὐκ ἔστιν ἀνάγκη καὶ ἔνδεια.—Οἱ περιοδικοὶ ὄμβροι ἐν Ἰνδίᾳ ἄρχονται κατὰ τὸν Ἰούνιον, καὶ παύονται κατὰ τὸν Σεπτέμβριον.

(2) Τοῦτο ἀλληγορικῶς ἀνάγεται εἰς ἄνδρα ἀγαθὸν, ὃς ἠλευθέρωσέ τινα ἐξ ἀπροόπτου, ὄντα ἐν δεινοῖς.—Σαμπάκα, δένδρον, οὗ τὰ ἄνθη πάνυ εὔοσμά ἐστι, καὶ εὔχροα.

(3) Ἀναφέρεται ἀλληγορικῶς εἰς ἐκεῖνον τὸν Ναπολέοντα, τὸν ὄντως ὄντα λέοντα, ὃν πρότερον μὲν, ὅτε ἔζη, πάντες ἔτρεμον οἱ βασιλεῖς· νῦν δ' ἐπὶ τοῦ τάφου αὐτοῦ καὶ κύνες οὐροῦσι· βαβαί!—Κυνόλυκος, ζῶον ἄγριον, οὗ τὸ σῶμα καὶ τὸ ἦθος κατά τι μὲν ὅμοιόν ἐστι τῷ κυνὶ, κατά τι δὲ τῷ λύκῳ· καὶ ὑπὸ μὲν τῶν Τούρκων καλεῖται Τσακὰλ, ὑπὸ δὲ τῶν Περσῶν Σιγάλ.

(4) Ἀλληγορικῶς ἀναφέρεται εἰς πατέρα, ἢ εἰς διδάσκαλον, ὃς τὴν αὐτὴν στοργὴν δεικνύει πρὸς πάντας τοὺς παῖδας, ἢ μαθητάς· εἷς ὅμως ἐξ αὐτῶν ἄριστος γίνεται πάντων, μὴ διαγινωσκόμενος πρότερον.—Βακουλὰ, δένδρον, οὗ τὰ ἄνθη, καὶ ξηρανθέντα μετὰ πολὺν χρόνον, πάλιν εὐωδίαν παρέχουσι.

οὐκ εἶχε πλείω τὴν στοργήν· νῦν δ' αὕτη ἡ Βακουλὰ πληροῖ τὸ πᾶν βόμβων βομβυλίων, ἐκ τῆς εὐωδίας ἀναρίθμων ἀνθέων.

32. Ποῦ φόβος σοι, ὦ μέγα δένδρον (1); ἡ μὲν γὰρ ῥίζα σου παχεῖα καὶ ἔμπεδος· οἱ δὲ κλάδοι σου μεγάλοι καὶ στιβαροί· ἡ δὲ μονή σου ἐν ὄρει δυσβάτῳ· ἓν μόνον ὅμως τοῦτο, γεννᾷ ὀλίγην ἀγωνίαν καὶ ταραχὴν τῇ ἐμῇ καρδίᾳ, τὸ νηλεὲς πῦρ τῆς ὕλης, τὸ πολύφλογον, καὶ πολυφάγον.

33. Ὁ Σατάκας οὗτος (2), ἐλπίζων τὴν ἔλευσίν σου, ὦ νεφέλη, διήνυεν ἐν ὥρᾳ θέρους, ὡς ἠδύνατο, τὰς μακρὰς ἡμέρας, καί περ φλεγόμενος ὀξείαις ἀκτῖσι τοῦ ἡλίου. Νῦν δὲ πρὸς τίνα τοῦτο εἴπωμεν, ὅτι σὺ, ἐκ τύχης ἀναφανεῖσα, ἠθέλησας βαλεῖν ἐπ' αὐτὸν ἀντὶ βροχῆς χάλαζαν;

34. Τῶν φυτῶν (3) ἄλλων μὲν κατακαιομένων ἐκ

---

(1) Τὸ μὲν μέγα δένδρον ἀναφέρεται εἰς μέγα βασιλέα, οἷον, εἰς τὸν Ναπολέοντα, ἡ δ' ἔμπεδος ῥίζα εἰς τὸν θησαυρὸν, οἱ δὲ στερεοὶ κλάδοι εἰς τοὺς ἡρωϊκοὺς στρατοὺς, ἡ δ' ἐν ὄρει δυσβάτῳ μονὴ, εἰς τὰ ἐρυμνὰ τείχη, τὸ δὲ πῦρ τῆς ὕλης εἰς τὴν βάσκανον τύχην, ἢ εἰς τὸν θάνατον. Ἐνίοτε κατὰ τὴν ὥραν τοῦ θέρους πῦρ αὐτομάτως ἐξάπτεται ἐν δάσει ἐκ τῶν προστριβομένων ἀλλήλοις ὑπ' ἀνέμου ξηρῶν κλάδων, ἢ καλάμων, καὶ κατακαίει ὅλον τὸ δάσος.

(2) Ἀλληγορεῖται εἰς τὸν ἐλπίζοντα τεύξεσθαι ἀγαθοῦ τινος παρ' ἄλλου, εἶτα δὲ τυγχάνοντα κακοῦ ἀντ' ἀγαθοῦ, ῥαβδισμῶν δηλονότι καὶ αἰκισμῶν ἀντὶ δωρεῶν.—Σατάκας, ὄρνις μικρός, περὶ οὗ λέγουσιν, ὅτι ζῇ ἐκ τοῦ ὑετίου ὕδατος· τοῦτο δὲ συμπεραίνεται, ἐπειδὴ κατὰ τὴν ὥραν τῶν περιοδικῶν ὄμβρων οἰστρηλατούμενον, κλίνει τὴν κεφαλὴν εἰς τὰ ὀπίσω, καὶ βλέπει εἰς τὰ ἄνω, καὶ ᾄδει ἐμμανῶς, καὶ ἀγάλλεται ὑπὲρ τὸ μέτρον, ὡς καὶ ὁ ταώς.

(3) Ἀλληγορεῖται εἰς βασιλέα, ὃς χάριτας χαρίζεται ἀφειδῶς οὐχὶ τοῖς κακῶς ἔχουσι, καὶ χρήζουσιν, ἀλλὰ τοῖς εὖ ἔχουσι, καὶ μὴ χρήζουσιν.

τοῦ πολυφλόγου πυρὸς τῆς ὕλης, ἄλλων δὲ μαραινομένων, σὺ, ὦ νεφέλη, βρέχεις ἀφειδῶς ἐπὶ πετρῶν τοῦ ὄρους! Ὁποία αὕτη ἡ ἄκριτός σου χάρις καὶ δωρεά;

35. Μηδέ γε μικρόν τι ταραχθῇς τὴν καρδίαν, φίλε ὁδοιπόρε (1), ἀκούων βροντῆς σκληρᾶς ἔμπροσθεν· οὐκ ἤκουσας, ὡς αὕτη ἡ νεφέλη, βρέχουσα, τὴν θλίψιν τοῦ κόσμου ἀποτρέπει, καὶ ζωὴν δίδωσιν;

36. Ὦ Σάνδανον (2), ἡ μὲν εὐωδία σου ἀπαξάπασίν ἐστι γνωστή· ἡ δὲ ψυκτική σου δύναμις ἀρίστη· ἡ δὲ φήμη σου ἧκεν εἰς τὰ πέρατα τῆς οἰκουμένης. Ἄκουσον μέν τοι ἑνὸς τούτου· οἱ ἐμφωλεύοντές σοι ὄφεις, καὶ φλόγας φαρμάκου ἐξερευγόμενοι, καταπίνουσι πάσας ταύτας τὰς ἀγαθάς σου ἀρετάς.

37. Οὔτ' ἐλπίς ἐστιν ἀνταμοιβῆς, οὔτε φιλοφροσύνη, οὔτε φιλία, οὔτε συνέντευξις· ἀλλὰ καὶ οὕτως, ἡ μεγαλόφρων νεφέλη ἀφαιρεῖται τὴν θλίψιν τῶν ἀνθρώπων (3).

38. Ἡ μὲν γέννησίς σου, ὦ λωτὲ (4), ἐν καθαρᾷ

(1) Ἀλληγορικῶς ἀνάγεται εἰς βασιλέα, ἢ δεσπότην, ὀξὺν θυμὸν ἔχοντα, καὶ σκληρὰ λέγοντα, φιλάνθρωπον δ' ὄντα καὶ ἀγαθοπάροχον.

(2) Ἀναφέρεται ἀλληγορικῶς εἰς βασιλέα, ὃς ἔχει πολλὰς μὲν ἀρετὰς ἀγαθάς, κακοὺς δὲ καὶ δυστρόπους παρέδρους καὶ συνέδρους, ὧν ἕνεκα αἱ ἀρεταὶ αὐτοῦ ἀμαυροῦνται.

(3) Ἀλληγορεῖται εἰς ἄνδρα μεγαλόφρονα καὶ φύσει δωρητικὸν, ὃς ἁπλῶς πᾶσι δωρεῖται, γνωστοῖς καὶ ἀγνώςοις, ὁμοφύλοις καὶ ἀλλοφύλοις.

(4) Ἀλληγορεῖται εἰς τὸν ἔχοντα ἀρετὰς πολλὰς, ὃς μᾶλλον ἀγλαΐζεται καὶ κλεΐζεται, ἐπειδὴ τιμᾷ καὶ φιλοφρονεῖται ἀγαθοὺς καὶ σπουδαίους ἄνδρας. Ἰστέον, ὡς ὁ μὲν Βισνοῦς λωτὸν ἔχει ἐν χειρὶ, σύμβολον τῆς θείας ἀγλαΐας· ἡ δὲ Λαξμὴ (ἥ ἐςιν ἡ θεὰ Εὐδαιμονία) καθέδραν ἔχει αὐτόν· διὸ καὶ λέγεται λωτόθρονος.—Σημείωσαι, ὡς ὁ λωτὸς οὐκ ἔστιν εὐώδης· ἴδιον δὲ τῶν ῥαψῳδῶν, τὸ ἀναπλάττειν τοιαῦτα.

ἐστι λίμνη· ἡ δ' οἴκησίς σου ἐν τῇ χειρὶ τοῦ Βισνοῦ· ἡ δ' εὐωδία σου ἕλκει τὰς καρδίας καὶ τῶν θεῶν· καὶ καθέδρα δ' ἀγλαὰ ὑπάρχεις τῆς Λαξμῆς. Σὺ οὖν, ὁ ἀγλαϊζόμενος ἐκ τοιούτων καὶ ἄλλων ἀρετῶν, μεῖζον κλέος λαμβάνεις, ἐπειδὴ φιλίαν δεικνύεις πρὸς τὸν καλὸν χῆνα (1).

39. Εἰπέ, ὦ Ὠκεανὲ (2), τί ποιήσω; ἐπαινέσω σε; ἢ κατηγορήσω σου; μέγα γὰρ βλέπω τὸ ἀδιάκριτόν σου, καὶ τὸ ὕψος τοῦ κράτους σου· αἱ μὲν γὰρ πολύτιμοι λίθοι κεῖνται ἐπὶ τῆς ἀκτῆς σου μετὰ τῶν χαλίκων· ὁ δὲ Θεὸς Βισνοῦς (3) ἀναπαύεται ἐπὶ τῶν ὑδάτων σου μετὰ τῶν νηκτῶν.

40. Τί ὄφελος (4), ὦ ὠκεανὲ, ἐκ τῶν ὧν ἔχεις πολυτίμων πραγμάτων, καὶ ἐκ τοῦ ἀπεράντου σου σώματος; καὶ τὸ ὕδωρ σου γὰρ οὐκ ἔρχεται εἰς τὸ στόμα τῶν διψώντων.

41. Εἰ τό γε νῦν ἔχον, ὅτε εὐμοιρεῖς ὑδάτων, ὦ λίμνη (5), οὐ καταπαύεις εὐθέως τὴν δίψαν τῶν θλιβομέ-

(1) Ὁ χὴν βιβρώσκει καὶ τὸ ἄνθος καὶ τὸν καυλὸν καὶ τὴν ῥίζαν τοῦ λωτοῦ, ἥ ἐστιν ἡδεῖα εἰς γεῦσιν.

(2) Ἀλληγορικῶς ἀναφέρεται εἰς μέγαν βασιλέα, ὃς τοσαῦτα πολύτιμα ἔχει πράγματα, ὥστε, ὡς σκύβαλα νομίζει αὐτὰ, καὶ ἀποῤῥίπτει· τοὺς δ' ἐνδόξους καὶ μεγαλοπρεπεῖς βασιλεῖς ἐν τάξει ἔχει τῶν μικροπρεπῶν καὶ χυδαίων.

(3) Μυθολογοῦσιν, ὡς ὁ τῶν θεῶν ὕπατος Βισνοῦς ἀναπαύεται ἐπ' ὄφεως χιλιοκεφάλου ἐπὶ τῶν ὑδάτων τοῦ ὠκεανοῦ. Ἔστι δὲ ταῦτα συμβολικά· ὁ μὲν γὰρ ὄφις αἰνίττεται τὸ ἄμβροτον καὶ ἀθάνατον, ὁ δ' ὠκεανὸς τὸ ἄπειρον καὶ βαθὺ τῆς θείας φύσεως.

(4) Ἀλληγορικῶς ἀνάγεται εἰς τὸν ἔχοντα μὲν πάμπολλα, καὶ πάμμεγαν ὄντα, μὴ διδόντα δὲ μηδὲ ὕδωρ τοῖς διψῶσι.

(5) Τοῦτο ἀναφέρεται ἀλληγορικῶς εἰς φειδωλὸν καὶ σκνιπὸν, ὃς, μη-

νων, τίνος αὐτὴν καταπαύσεις ἐν ὥρᾳ θέρους, ὅταν ξηρανθῇς, τοῦ ἡλίου βάλλοντος πυροειδεῖς ἀκτίνας;

42. Εἰ θυμὸν οὐχ ἕξεις, ὦ Ὠκεανὲ (1), ἐροῦμέν τι πρὸς σέ. «Σὺ ὁ μέγας λαμβάνεις ὀπίσω πάλιν τὰ ὕδατα, τὰ ἀφιέμενα ὑπὸ τῆς νεφέλης (2), ἣ ἔλαβε ταῦτα παρὰ σοῦ. ὤ!»

43. Ἡμεῖς, ὦ χείμαῤῥε (3), οὐ κωλύομέν σε εἰσβάλλοντα εἰς τὸν πολυχεύμονα Γάγγην· ἀνοίκειόν σοι δ' ὅμως ἐστί, δεικνύειν κύματα μεγάλα καὶ ὑψηλὰ ἔμπροσθεν ἐκείνου.

44. Τί εἴπωμεν πρὸς σέ, ὦ λωτέ; (4) σὺ γὰρ φειδὼ ἔχεις πρὸς τὸν βομβύλιον τοῦτον, τὸν ἐπιθυμοῦντα τοῦ μέλιτός σου σήμερον κακῇ τύχῃ· οὗτος γὰρ πρότερον πρῶτον μὲν αὐτὸς ὠσφραίνετο τῶν ἀνθέων τῶν ἐν τῷ παραδείσῳ τοῦ Ἴνδρα ἀγλαῶν θείων δένδρων, εἶτα δ' οἱ θεοί.[1]

45. Εἰπέ, ὦ χὴν (5), τίνι ἀνταμοιβῇ ἀντευεργέτης

δενὶ μηδὲν διδούς, ὅταν ἔχῃ, καὶ πλουτῇ, τίνι δώσει, ὅταν πτωχεύσῃ κακῇ τύχῃ;

(1) Ἀλληγορεῖται εἰς τύραννον, ὃς ἁρπάζει τὸν πλοῦτον ἐκείνων, οὓς αὐτὸς ἐπλούτισεν, ἢ εἰς τὸν λαμβάνοντα ὀπίσω, ἃ αὐτὸς ἔδωκε.

(2) Τὸ νέφος ἐνίοτε, ὡς σιφώνιον, ὕδωρ ἐκροφᾷ ἐκ θαλάσσης, καὶ ἐκ λιμνῶν.

(3) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· οὐ προσήκει πτωχῷ ἢ ἀδυνάτῳ ἐρίζειν καὶ ἁμιλλᾶσθαι πλουσίῳ ἢ δυνατῷ.

(4) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγε· μὴ καταφρονεῖτε ἀξιοπρεποῦς ἀνδρὸς, ὃς πρότερον μὲν διὰ μεγάλης τιμῆς καὶ φροντίδος ἦν παρὰ μεγάλοις ἀνδράσιν· εἶτα δ' ἐξέπεσε κακῇ τύχῃ.

(5) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· οὐ δύναταί τις ἀντευεργετῆσαι τὸν θρέψαντα.

ἔσῃ ἐκείνῃ τῇ λίμνῃ, ἧς τὸ μὲν ὕδωρ ἔπιες, τῶν δὲ λωτῶν τῶν καυλῶν ἐγεύσω, καὶ τῶν ἀνθέων ὁμοῦ;

46. Τίς ἄλλος ἐκτός σου εὐτελής ἐστιν, ὦ βομβύλιε (1), ὃς καταφρόνησιν ποιεῖς σήμερον τῆς Ἄμρας ταύτης, ἀπανθησάσης ἐκ τύχης, ἧς περὶ τὰ ἀγλαὰ ἄνθη ἐν τῇ ἀρχῇ τοῦ ἔαρος ᾖδες ἡδέως, καὶ τοσαύτην χαρὰν ἐλάμβανες;

47. Διὰ τί, ὦ ἄῤῥην ἔλαφε (2), βλοσυρῷ ὄμματι πομπεύεις ἐν τούτῳ τῷ ἄλσει μεταξὺ θηλέων ἐλάφων; ἴσθι, ὡς αὕτη ἡ γῆ διατριβή ἐστι λέοντος, ὃς πολλῶν ἐλεφάντων κάρας (3) συνέτριψεν, ἐξ ὧν ἐξῆλθον μαργαρῖται, οἷς κατεστρώθη ἡ γῆ.

48. Καίπερ ἐλθοῦσα ἔμπροσθεν ἀφόβως ἀγέλη ἐλάφων (4), πῶς ἂν ἀναιρεθείη ὑπὸ τοῦ λέοντος, τοῦ ἐχθροῦ τῶν ἐλεφάντων, εἰ καὶ ἡ γαστὴρ αὐτοῦ φλέγεται ἐκ πείνης;

49. Ὁ λέων (5), ὃς διέῤῥηξε κάρας ἐλεφάντων, ἐξ ὧν οἱ ἐξελθόντες μαργαρῖται κατέστρωσαν τὴν γῆν, πῶς

---

(1) Τοῦτο ἀλληγορεῖται εἰς τὸν καταφρονοῦντα τοῦ εὐεργέτου, ὃς ἐδυστύχησεν.

(2) Ἀλληγορεῖται εἰς δειλὸν καὶ ἄνανδρον, ὃς ἀνδρείαν δεικνύει ἔμπροσθεν γυναικῶν καὶ ἀνάνδρων· ἢ εἰς ὀλιγομαθῆ, ὃς πολυμάθειαν δεικνύει ἔμπροσθεν ἀμαθῶν.

(3) Λέγουσιν, ὡς ἐν κάρᾳ ἐλέφαντος μαργαρῖται εἰσιν ἐξαίρετοι· ἔστι δὲ καὶ τοῦτο, φαντασία ποιητική.

(4) Ἀλληγορικὸν, καὶ ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ὁ ἀνδρεῖος, εἰ καὶ ὠργισμένος εἴη, οὐκ ἀναιρεῖ τὸν ἄνανδρον, καίπερ ἐν χερσὶν ὄντα.

(5) Ἀλληγορικὸν, καὶ ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· ὁ ἥρως καὶ ἀνδρεῖος οὐ λέγει, καυχώμενος ἔμπροσθεν ἀνάνδρων, τὰς ἑαυτοῦ ἀνδραγαθίας.

ἂν εἴποι νῦν ἔμπροσθεν ἐλάφων, ὡς ἀνδραγαθίας ἐποίησεν;

50. Μηδὲ μικρόν τι μένε ἐν ταύτῃ τῇ γῇ τοῦ δάσους οὕτω σοβαρὸς, φίλε ἀγελάρχα τῶν ἐλεφάντων (1)· λέων γὰρ μέγας ὑπνώττει ἐν σπηλαίῳ, ὃς διαῤῥηγνύει ὀξέσιν ὄνυξιν ὄχθους μεγάλους, νομίζων ἐλέφαντας.

51. Μήποτε ἔλθῃς εἰς τὸ σπήλαιον τοῦ ὄρους (2), ὦ νεβρὲ ἐλέφαντος ὑπέροφρυ· εἰ γὰρ αἴσθοιτο ὁ ὑπομάστιος σκύμνος λέοντος, ἡ γῆ ἔσεται ἄνευ ἀῤῥένων ἐλεφάντων.

52. Φυτοκόμος ἐπιδέξιος (3), φυτεύων ἕκαστον τῶν φυτῶν κατὰ τάξιν, ὡς εἶχε φύσεως, ἐφύτευσε καὶ τὴν Βακουλὰν κατά τινα γωνίαν τοῦ κήπου· τίς δ' ὅμως ἐγίνωσκε τοῦτο, ὅτι αὕτη ἡ κατὰ τὴν γωνίαν (4) Βακουλὰ ποιήσει τὸν κόσμον πάντα μεστὸν εὐωδίας τῶν ἑαυτῆς ἀνθέων;

53. Ὅτε ἐνήχετο ἐν τῷ ὠκεανῷ ὁ τὰ μεγάλα κήτη καταπίνων Ῥαγγαβᾶς (5), οἱ τὴν γῆν βαστάζοντες

---

(1) Ἀλληγορικὸν, καὶ ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· οὐ δεῖ τῷ ἀνάνδρῳ μένειν παρ' ἐχθρῷ ἀνδρείῳ καὶ ὀξυχόλῳ.

(2) Ἀλληγορικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγεν· οὐ δεῖ τῷ ἀνάνδρῳ ἔρχεσθαι εἰς τὴν γῆν ἐκείνην, ἔνθα οἰκεῖ ἀνδρεῖος ἐχθρός. Ἰστέον ὡς, καί τοι ὁ ἐλέφας σῶμα ἔχει μέγα, ὅταν ὅμως ἴδῃ λέοντα, ἢ τίγριν, τρέμει, καὶ φεύγει.

(3) Ἀλληγορεῖται εἰς πατέρα, ἢ εἰς διδάσκαλον, ὃς ὄντινα μὲν τῶν παίδων νομίζει ἄξιον, καὶ διὰ τοῦτο τιμᾷ, καὶ ἀγαπᾷ, οὗτος γίνεται ἀνάξιος, καὶ ἀχρεῖος· ὄντινα δὲ νομίζει ἀνάξιον, καὶ διὰ τοῦτο ἀτιμάζει καὶ μισεῖ, οὗτος γίνεται ἄξιος, καὶ χάριτας πολλὰς ἔχει, ὅταν εἰς νεανικὴν ἡλικίαν ἔλθῃ.

(4) Βακουλὰ, δένδρον ἀειθαλὲς, οὗ τὰ ἄνθη, καὶ ξηρανθέντα, εὐωδίαν πολλὴν παρέχουσι, καὶ ἐπὶ πολὺ ἀκέραια διαμένουσιν.

(5) Ἀλληγορικῶς ἀναφέρεται εἰς μέγαν καὶ ἡρωϊκὸν ἄνδρα, οἷον, εἰς

ἐλέφαντες θάμβος εἶχον ἐκ τοῦ ἤχου τῶν ἀνεγειρομένων ὑψηλῶν κυμάτων, νομίζοντες, ὅτι περιδίνησις πάλιν γίνεται τοῦ ὄρους Μανδάρα (1). Οὗτος ὁ Ῥαγγαβᾶς (2), ἀφεὶς τὸν ὠκεανὸν διά τινα λογομαχίαν, ἐν τίνι ἄλλῳ ὠκεανῷ νήξεται;

54. Ἄλλο μὲν μέρος τοῦ ἀγλαοῦ ἄλσους ἐλυμάνθη ὑπὸ μεμηνότων ἐλεφάντων (3)· ἄλλο δ' ἐμαράνθη ὑπὸ χιόνος· τὸ δ' ἐπίλοιπον ἐξηράνθη ἐκ τῶν θερμῶν ἀκτίνων τοῦ ἡλίου ἐν θέρει· τοῦτο δὲ τὸ ἀγλαὸν φυτὸν τοῦ Καρυοφύλλου, τὸ ὂν κατά τινα γωνίαν τοῦ ἄλσους, καὶ εὐφραῖνον πάντα τὰ μέρη διὰ τῆς εὐωδίας, κατακαίεται ὑπὸ τοῦ ἐν ὕλῃ πυρός. Ὢ τοῦ δεινοῦ!

55. Ἀληθὲς τοῦτο (4), ὦ Νανδάνα (5), ὅτι σὺ εἶ

τὸν Ναπολέοντα, ὅς, ὢν ἐν τῇ μεγαλοδυνάμῳ Γαλλίᾳ, ὡς ἐν μεγάλῃ καὶ βαθείᾳ θαλάσσῃ, ὑπερφυῆ ἐδείκνυε κολυμβήματα, τουτέστι, μεγαλουργήματα καὶ τερατουργήματα, ἃ θάμβος καὶ δέος πᾶσι παρεῖχε τοῖς βασιλεῦσι τῆς γῆς· στερηθεὶς δ' ἐκείνης τῆς μελοδυνάμου Γαλλίας, εἷς τῶν πολλῶν ἦν.

(1) Μυθολογοῦσιν, ὡς οἱ θεοὶ καὶ οἱ Γίγαντες ἔθηκαν ἐν τῷ ὠκεανῷ ἓν ὄρος μέγα, ᾧ ὄνομα Μανδάρα, καὶ περιδινοῦντες αὐτὸ, ἐξήγαγον τὴν ἀμβροσίαν, καὶ ἄλλα ὁμοῦ τιμαλφέστατα πράγματα.

(2) Ῥαγγαβᾶς, μυθευόμενον κῆτος ὑπερμέγεθες, ὃ καταπίνει εὐμαρῶς τὰ μεγάλα κήτη.

(3) Ἀλληγορικῶς ἀνάγεται εἰς ἀγλαᾶς γυναικὸς, ἢ ἀνδρὸς σοφοῦ σῶμα, οὗ ἄλλο μὲν μέλος διεφθάρη ὑπὸ νόσου, ἄλλο δὲ ὑπὸ κακοπαθείας, καὶ ἄλλο ὑπ' ἄλλου τινος συμβάματος· τὸ δὲ στόμα ἢ ὄμμα τελευταῖον κλείεται ὑπὸ τοῦ θανάτου.

(4) Ἀναφέρεται ἀλληγορικῶς εἰς πανένδοξον καὶ πανευκλεῆ βασιλέα, ᾧ φόβος ἐστὶ καὶ κίνδυνος ἐκ θανάτου, ὃς κατέβαλε τοιούτους πολλούς.

(5) Νανδάνας, κατὰ σημασίαν, Τερπνός· ἔστι δ' ὄνομα τοῦ οὐρανίου παραδείσου.

κορυφαῖον κόσμημα τοῦ οὐρανοῦ, καὶ οἴκημα θαυμάσιον τῶν θείων δένδρων, καὶ κτῆμα τοῦ Θεοῦ Ἴνδρα· ὁ Βραχμᾶς ὅμως ἀεὶ ἱκετεύεται ὑπὸ τῶν ἀγαθῶν, ἵνα μὴ προσπελάσῃ σοι τὸ πῦρ, ὃ κατεπυρπόλησε τὸ ἄλσος Χανδάβαν (1).

56. Ἐν ᾧ ὁ ἐμπερίκλειστος ψιτταχὸς ἡδέως διενοεῖτο ταῦτα (2)· «τῶν περὶ ἐμὲ ἀπελθόντων, καὶ ἀσχολίαν σχόντων ἐν τοῖς ἰδίοις ἔργοις, ἐγὼ, διαῤῥήξας τὴν » θύραν τῷ ῥάμφει, ἐξελεύσομαι,» ἐν τούτῳ τῷ χρόνῳ εἰσέδυ ὄφις τὴν κύρτην.

57. Πίε, τέκνον, γάλα (3)· τί περιβλέπεις ἀγρίως, νομίζων ἐλέφαντα; αὕτη ἡ μέλαινα νεφέλη ὀξέως βροντᾷ, ἡ ἀφαιρουμένη διὰ τῆς βροχῆς τὴν θλίψιν τῆς καρδίας τοῦ κόσμου.

58. Ἅλις, ὦ νεφέλη, τῶν δεινῶν βροντῶν (4)· τὸ γὰρ μηνιαῖον ἔμβρυόν μου, ὁ σκύμνος, ἀναπηδᾷ ἐντὸς τῆς γαστρὸς, νομίζων μεμηνότα ἐλέφαντα.

---

(1) Χανδάβα, ἄλσος μέγα καὶ ὀνομαστὸν, ἱερὸν τοῦ Ἴνδρα, ὃ πυρίκαυστον ἐγένετο διὰ συνεργείας τοῦ Κρισνᾶ καὶ Ἀρζούνα. Ἰστέον, ὡς ὁ μὲν Κρισνᾶς δοξάζεται καὶ λατρεύεται, ὡς Θεὸς, ὃς ἐσαρκώθη ἐπὶ γῆς, ὡς λέγουσιν, ἐν τούτῳ τῷ ὀνόματι ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων· ὁ δ' Ἀρζούνας τιμᾶται, ὡς ἥρως καὶ ἡμίθεος, υἱὸς ὢν τοῦ Θεοῦ Ἴνδρα, καὶ τῆς βασιλίσσης Πριθᾶς· ἦν δὲ καὶ συγγενὴς, καὶ φίλος ἄκρος τοῦ Κρισνᾶ.

(2) Ἀλληγορεῖται εἰς τὸν κατεχόμενον νοσήματι, ἢ ὄντα ἐν εἱρκτῇ, ὃς ἐν ᾧ ἐπινοεῖται τρόπους εἰς ἀπαλλαγὴν, ἁρπάζεται ἐξαίφνης ὑπὸ τοῦ θανάτου.

(3) Τοῦτο λέγεται ὑπὸ τῆς λεαίνης πρὸς τὸν σκύμνον· ἀλληγορεῖται δὲ εἰς ἀνδρεῖον, ὃς, καὶ παῖς ὢν, δεικνύει τὴν ἣν ἔχει φυσικὴν ἀνδρείαν καὶ ἡρωϊκὴν καρδίαν, ὡς ὁ Ἡρακλῆς.

(4) Τοῦτο καθ' ὑπερβολήν ἐστι, καὶ ὅμοιον τῷ ἀνωτέρῳ.

59. Σκύμνος λέοντος (1) κατὰ τὴν αὐτὴν νύκτα, καθ' ἣν ἐγεννήθη, ὢν ἐν ἀγκάλαις τῆς μητρὸς λεαίνης, ἀκούσας ὀλίγης βροντῆς, συνέστειλε τὰ μέλη τοῦ σώματος, εἰς τὸ πηδῆσαι.

60. Ὦ ὀρεσίοικοι καὶ ἄστατοι ἔλαφοι (2), τί ἐπιβάλλεσθε εἰσδῦναι τοῦτον τὸν πολυκύμονα καὶ πολυτάραχον ποταμόν; περιδινηθεὶς γὰρ ὑπὸ δινῶν μεγάλων ὁ μέγας ἐλέφας οὗτος (3), ἐβυθίσθη, ὡς λίθος, ἐνταῦθα.

61. Τί ἀνδραγάθημα ῥηθείη ἂν ἐν ἀγέλῃ ἐλάφων ὑπὸ λέοντος (4), τοῦ καταβάλλοντος τὴν ὀφρὺν μεμηνότων ἐλεφάντων;

62. Ἡ μὲν γέννησίς σου, ὦ λωτὲ (5), ἐκ καθαροῦ ἐστιν ὕδατος· ἡ δ' ἀγλαΐα σου ἁμιλλᾶται τῷ προσώπῳ τῆς καλῆς· ἡ δ' οἴκησίς σου ἐν τῇ χειρὶ τοῦ Βισνοῦ· ἡ δ' εὐωδία σου ἕλκει τὰς καρδίας καὶ τῶν θεῶν· σὺ δὲ εἶ καὶ ἅπας ὁ πλοῦτος (6) τοῦ θεοῦ ἔρωτος, κατὰ τοὺς ποιητάς. Εἰ οὖν σὺ, τοιοῦτος ὢν, φιλίαν ἔχεις πρὸς τὸν φιλοπότην (7) βομβύλιον, τί εἴπωμεν πρὸς σέ;

---

(1) Ὅμοιον καὶ τοῦτο τῷ ἀνωτέρῳ.

(2) Ἀλληγορικῶς ἀναφέρεται εἰς ἄνανδρον, ὃς ἐπιβάλλεται πολεμῆσαι ἀνδρείῳ, ὑφ' οὗ ἄλλοι ἀνδρεῖοι κατεβλήθησαν.

(3) Ὁ Ἐλέφας κολυμβητής ἐστιν ἄριστος· εὐμαρῶς δὲ διαπερᾷ τὸν σφοδρότατον καὶ πλατύτατον ποταμόν.

(4) Ἀλληγορικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγεν· Ὁ ἀνδρεῖος οὐ λέγει περὶ ἀνδραγαθίας ἐν μέσῳ ἀνάνδρων.

(5) Ἀναφέρεται ἀλληγορικῶς εἰς τὸν ὄντα μὲν ἐκ γένους ἀγαθοῦ, καὶ πολλὰς ἀρετὰς ἔχοντα, συνόντα δὲ δυσγενέσιν, εὐτελέσι, καὶ οἰνοπόταις.

(5) Πλοῦτός ἐστι τοῦ Ἔρωτος, τὸ τόξον, ὅ ἐστιν ἐκ λωτοῦ· ἐπὶ τούτῳ γὰρ καυχᾶται, καθὼς ὁ βασιλεὺς ἐπὶ τῷ πλούτῳ.

(7) Ἡ λέξις ἐν τῷ πρωτοτύπῳ ἐστὶ Μαδδουπά. Μαδδουπὰ κατὰ στη-

63 Τί, ὦ ἡγεμὼν τῶν ἐλεφάντων (1), κλείσας τὰ ὄμματα, ὕπνον ὑπνοῖς ἡδύν; ἡ γὰρ κατὰ σοῦ ἔχθρα τοῦ λέοντος ἑκάστοτε αὐξάνει, ὃς τελευταῖον κακόν σοι ποιήσει.

64. Οὐκ ἐξέρχονται εὐθέως καὶ ἀσκέπτως λόγοι ἐκ στόματος εὐφρόνων (2)· ἂν δ' ἐξέλθωσιν, οὐκ ἐπανέρχονται, ὡς καὶ οἱ τοῦ ἐλέφαντος ὀδόντες.

65. Ὦ θεῖον πάνδωρον δένδρον (3), ἡ μὲν ἐλευθεριότης σου γνωστή ἐστιν ἐν τοῖς τρισὶ κόσμοις· ἡ δὲ γέννησίς σου (4) ἐκ τοῦ ὠκεανοῦ· ἡ δὲ μονή σου ἐν τῷ ἄλσει Νανδάνα· ἡ δ' εὐωδία σου θέλγει τὰς καρδίας καὶ τῶν θεῶν· ἅπασαι μέντοι αὗται αἱ ἀρεταὶ σοῦ τοῦ μεγαλοδώρου ἄρισται ἂν εἴησαν ἐν κόσμῳ, εἰ διάκρισίς σοι ἦν ἐν τῇ δόσει, κατὰ τὴν τάξιν καὶ στάσιν τῶν αἰτούντων.

66. Μὴ λύπην ἔχῃς ἐν καρδίᾳ, ὦ θηρευτά, ἀναλογιζόμενος, ὅτι σὺ μόνος ἄσπλαγχνος εἶ, καὶ ἀναιρεῖς

μασίαν λέγεται ὅ,τε οἰνοπότης, καὶ ὁ μελιτοπότης, καὶ κατὰ μεταφορὰν ὁ βομβύλιος, ἅτε πίνων τὸν γλυκὺν χυμὸν τῶν ἀνθέων. Τὸ πρωτότυπον πάνυ χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

(1) Ἀλληγορικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγε· Δεῖ τῷ ἐχθρὸν ἔχοντι ἔχειν ὄμμα γρήγορον καὶ προσοχὴν ἄκραν.

(2) Παραδειγματικὸν τοῦτο. Σημείωσαι, ὡς οἱ ἔξω τοῦ στόματος τοῦ ἐλέφαντος ὄντες δύω ὀδόντες παροιμιακῶς λέγονται ἐπὶ λόγου ἀπαραβάτου· καθὼς γὰρ οἱ ἐξελθόντες ἐκ τοῦ στόματος τοῦ ἐλέφαντος ὀδόντες, οὐκ ἐπανέρχονται, οὕτω καὶ ὁ λόγος, ὁ ἐξελθὼν ἐκ στόματος εὔφρονος, οὐκ ἐπανέρχεται, δηλονότι, οὐ παραβαίνεται.

(3) Ἀλληγορικῶς ἀνάγεται εἰς τὸν διδόντα ἐξ ἴσου τοῖς αἰτοῦσιν, ἄνευ τοῦ θεωρεῖν τὴν στάσιν καὶ τάξιν αὐτῶν.

(4) Ὅτε περιεδινεῖτο ὑπὸ τῶν θεῶν ὁ ὠκεανὸς, ἐξήχθη πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τὸ πάνδωρον δένδρον, ᾧ ὄνομα Παριζάτα· λαβὼν δ' αὐτὸ ὁ Θεὸς Ἴνδρας, ἐφύτευσεν ἐν τῷ ἑαυτοῦ παραδείσῳ.

τὰς πνοὰς τῶν θαῤῥησάντων σοι ζώων· πολλοὶ γὰρ ὅμοιοί σοι, ὕπουλοι, καὶ πονηροὶ, καὶ ἐχθροὶ τῶν ἀγαθῶν, διάγουσιν ἐν τοῖς βασιλικοῖς οἴκοις, καὶ ἐν τοῖς ἁγίοις τόποις.

67. Καὶ τούτους φέρεις (1), ὦ μῆτερ γῆ (2), οἳ, θαῤῥύναντες ταπεινότητι καὶ ἡδυλογίᾳ, ἀπατῶσι τοὺς ἀγαθοὺς καὶ ἀκάκους ἀνθρώπους; καὶ σοὶ αὐτῇ διάκρισις οὐκ ἔστι;

68. Τῶν ἀγαθῶν καὶ σπουδαίων ἀνδρῶν ἐξαίρετα καὶ πάντῃ ὠφέλιμά ἐστι τῷ κόσμῳ τὰ τῆς διανοίας, καὶ τὰ τοῦ λόγου, καὶ τὰ τῆς πράξεως (3)· ἀλλὰ καὶ τὸ εἶδος αὐτῶν τέρπει τοὺς θλιβομένους· πάντα δὲ ταῦτα ὑπὲρ λόγον ἐστίν.

69. Ὁ μεγαλόφρων καὶ μεγαλοπρεπὴς (4), ὢν ἐν δεινοῖς, πλεονάζει τὴν ἣν εἶχε πρότερον ἐλευθεριότητα, καθὼς τὸ ἀγάλλοχον, τιθέμενον ἐν πυρὶ, τερπνοτέραν εὐωδίαν ἀναδίδωσιν.

70. Ἡδύς πως ἐστι καὶ ὁ θυμὸς τῶν καθαρῶν τῇ καρδίᾳ (5), καὶ μεγάλαις ἀρεταῖς συνόντων, αἳ τέρπουσι τὸν κόσμον, καθὼς ἡδεῖά ἐστι καὶ ἡ πικρότης τοῦ κρό-

(1) Ἀλληγορικῶς ἀναφέρεται εἰς ἀγαθὸν βασιλέα, ὃς ἔχει περὶ ἑαυτὸν κακοὺς, δολίους, καὶ συκοφάντας.

(2) Ἡ γῆ κρίνεται θεὰ, ὡς οὖσα βιοδότειρα· καὶ ἡ βοῦς δὲ, ὡς θεὰ κρίνεται καὶ τιμᾶται, ἅτε οὖσα εἰκὼν τῆς γῆς. Καθὼς γὰρ ἡ γῆ καρπὸν δίδωσιν εἰς τροφὴν, οὕτω καὶ ἡ βοῦς γάλα.

(3) Δηλονότι οἱ ἀγαθοὶ καὶ σπουδαῖοι ἄνδρες ἀγαθὰ διανοοῦνται, καὶ ἀγαθὰ λέγουσι, καὶ ἀγαθὰ πράττουσιν εἰς ὠφέλειαν τοῦ κόσμου.

(4) Ὁμοιωματικόν.

(5) Ὁμοιωματικόν.

κου, ὃς πλήρης ἐστι μεγάλης εὐωδίας, ἣ τέρπει τὸν κόσμον.

71. Εἰ ἔμπροσθεν τῶν πλουτούντων ἐκ τῆς συληθείσης πόλεως τῆς Σαρασβατῆς σοβοῦσι καὶ ἐπαίρονται οἱ οὐτιδανοὶ (1), οἱ κλέψαντες μικρόν τι λάφυρον, πεσὸν ἔκ τινος ἐκείνων τῶν συλαγωγησάντων, σήμερον ἢ αὔριον οἱ μὲν νεοσσοὶ θήσουσι τὸν πόδα ἐπὶ τῆς κεφαλῆς τῶν ὄφεων, οἱ δὲ λαγωοὶ ἐπὶ τῶν ἐλεφάντων, οἱ δὲ κύνες ἐπὶ τῶν λεόντων.

72. Οἱ ἄνθρωποι (2), θλιβέντες λόγοις σκληροῖς καὶ αὐστηροῖς τῶν γονέων, ἢ τῶν διδασκάλων, ἀγλαίαν καὶ μεγαλοπρέπειαν λαμβάνουσι· παραδείγματος χάριν, προστριβέντες τροχοειδεῖ ἀκόνῃ αἱ πολύτιμοι λίθοι, ἐπὶ τῆς κορυφῆς τῶν βασιλέων τίθενται.

73. Τὸ μὲν Σάνδανον φέρει ὄφεις (3)· ὁ δὲ λύχνος ἔχει ἐπὶ κορυφῆς καπνὸν μέλανα· ἡ δὲ σελήνη ἐν μέσῳ μέλανα στίγματα· οἱ δὲ βασιλεῖς ἔχουσι περὶ ἑαυτοὺς συκοφάντας.

---

(1) Ἀλληγορεῖται ἡ μὲν πόλις εἰς τὴν μάθησιν, ἧς ἔφορός ἐστιν ἡ θεὰ Σαρασβατὴ, οἱ δὲ συλαγωγήσαντες τὴν πόλιν εἰς τοὺς μαθόντας μάθησιν, οἱ δὲ οὐτιδανοὶ εἰς τοὺς ἀμαθεῖς, τὸ δὲ πεσὸν λάφυρον ἔκ τινος ἐκείνων τῶν συλαγωγησάντων, ἀλληγορεῖται εἰς τὸν λόγον, τὸν ἐξελθόντα ἐκ στόματός τινος τῶν εὐμαθῶν, ὃν ἁρπάξαντες οἱ ἀμαθεῖς δι' ἀκοῆς, φρονοῦσιν, ὅτι πάντα ἔμαθον. Ὅμοιον δ' ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· εἰ οἱ ὀλιγομαθεῖς, ἐπαιρόμενοι, συγκριθῆναι βούλονται τοῖς πολυμαθέσι, καὶ οἱ νεοσσοὶ συγκριθήσονται τοῖς ὄφεσι, καὶ οἱ λαγωοὶ τοῖς ἐλέφασι, καὶ οἱ κύνες τοῖς λέουσιν· εἰ δὲ τοῦτο οὐχ οἷόν τε ἐστι γενέσθαι, οὐδ' ἐκεῖνο πάντως τε οὐκ ἂν γένοιτο.

(2) Παραδειγματικόν.

(3) Ὁμοιωματικόν.

74. Ὁ κακὸς ἄνθρωπος ὁμογάστριός ἐστιν ἀδελφὸς τοῦ ὄφεως (1)· καθὼς γὰρ ὁ ὄφις, καίπερ πιὼν γάλα, ἕτοιμός ἐστιν ἀντ' ἀγαθοῦ κακὸν ποιῆσαι τῷ ποτίσαντι, οὕτω καὶ ὁ κακὸς, καίπερ εὐεργετηθεὶς, ἀντ' ἀγαθοῦ κακὸν ποιεῖ τῷ εὐεργετήσαντι.

75. Ὁ ἀγαθὸς ἀγοθοεργίαις πάντα τὸν κόσμον λίαν εὐφραίνει (2), μηδαμῶς παρακινούμενος ὑπό τινος. Εἰπὲ, ὑπὸ τίνος παρακινουμένη ἡ σελήνη, γανοῖ τοὺς νυκτανθεῖς λωτοὺς ταῖς ἑαυτῆς ἀγλααῖς ἀκτίσιν;

76. Ὅςτις παραβλέπει τὸ οἰκεῖον ὄφελος δι' ὄφελος ἄλλων, καὶ τοὺς ἀγαθοὺς βλέπει, ὡς ἑαυτὸν, καὶ ἐκ φύσεως μεγαλόφρων ἐστὶ καὶ μεγαλοπρεπὴς, καὶ δυνάμενος, οὗτος ὑπέρτερός ἐστι πάντων.

77. Μᾶλλον κλεΐζεται ὁ ἄνθρωπος ἐκ τῆς τῶν ἀγαθῶν ἐντεύξεως (3), ἢ ἐκ τοῦ μεγάλου γένους, ἐξ οὗ κατάγεται, καὶ ἐκ τῶν ὧν ἔχει ἀρετῶν. Παραδείγματος χάριν, ὁ πῆχυς τῆς κιθάρας οὐ ποιεῖ ἦχον ἡδὺν καὶ μέγαν, ἐὰν μὴ ἔχῃ κολοκύνθην.

78. Εἰ καὶ πρᾶγμά τι πολλὰς ἔχει ἀρετὰς, κατηγορεῖται ὅμως διὰ μίαν τινα κακίαν, ἣν ἔχει (4)· φέρ' εἰπεῖν, τὸ σκόροδον (5), εἰ καὶ ἔχει πᾶσαν ἀρετὴν τῶν

---

(1) Ὁμοιωματικόν.

(2) Ὁμοιωματικόν.

(3) Παραδειγματικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγε· Συντυγχάνων τοῖς ἀγαθοῖς ὁ εὐγενὴς, μᾶλλον κλεΐζεται, καθὼς ὁ πῆχυς τῆς κιθάρας, συνὼν κολοκύνθῃ, μείζονα καὶ ἡδύτερον ἦχον ἀποτελεῖ. Ἐκ κολοκύνθης ποιοῦσι τὴν κεφαλὴν τῆς κιθάρας.

(4) Ὅμοιον τῷ, « Οὐ πᾶσιν ἅμα χαρίεντα θεοὶ διδοῦσι. »

(5) Τὸ σκόροδον, μεγάλη ἰατρικὴ βοτάνη λέγεται ὑπὸ τῶν Ἰνδῶν, οἳ

μεταλλικῶν χυμῶν, κατηγορεῖται ὅμως διὰ τὴν ἣν ἔχει δριμεῖαν ὀσμήν.

79. Ὁ καλοκἄγαθος (1), ἐν δεινοῖς ὢν καὶ πάθεσι, πλείω ἀγαθὰ ποιεῖ· παραδείγματος χάριν, ὁ ὑδράργυρος, ἀποτεφρωθεὶς, ἰαματικώτερός ἐστι τοῖς πάσχουσιν·

80. Ἡ Σητὰ (2), λαγίδια πρότερον βλέπουσα ἐν ἐρήμῳ, ἐφοβεῖτο, καὶ κατέφευγεν εἰς τὸν κόλπον τοῦ Ῥάμα (3)· ἁρπαγεῖσα δ' ἔπειτα ὑπὸ τοῦ τυράννου Ῥαβάνα, καίπερ φρουρουμένη ὑπὸ στυγερωπῶν Τελχίνων, ὑπέφερεν ἐξ ἀνάγκης τὴν δεινὴν κατάστασιν, ἣν εἶχε.

81. Τὸ βλεπόμενον ἡδέσι βλέμμασι τῶν θείων νυμφῶν ἀγλαὸν σῶμα τοῦ Ἔρωτος (4), ὃς ἐδείκνυεν ὑπερο-

---

καὶ χρῶνται τῷ χυμῷ αὐτοῦ πολυειδῶς εἰς πολυειδῆ πάθη· ἀποτεφροῦντες δὲ καὶ πάντα τὰ μέταλλα, χρῶνται αὐτοῖς εἰς ἴασιν παθῶν, καὶ εἰς ῥῶσιν τοῦ σώματος.

(1) Παραδειγματικόν.

(2) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· Ἐξ ἀνάγκης καὶ ἐκ συνηθείας ὁ ἄνθρωπος πολλὰ ἀφόρητα φέρει.

(3) Ὁ Ῥάμας, βασιλεὺς ἦν κραταιὸς, μεγαλόψυχος, περίφημος εἰς τὴν τοξικὴν, δίκαιος, θεοσεβὴς, φιλόλαος, φιλαλήθης, φιλοπάτωρ, καὶ φιλάδελφος· τιμᾶται δὲ θεοπρεπῶς, καὶ δοξάζεται, ὡς αὐτός ἐστιν ὁ Θεὸς, ὃς ἐσαρκώθη εἰς ὄλεθρον τῶν ἀντιθέων καὶ Τελχίνων. Οὗτος, νέος ὢν, φθόνῳ τῆς ἑαυτοῦ μητρυιᾶς ἐξωρίσθη ὑπὸ τοῦ πατρὸς εἰς ἔρημον, ἔνθα οὖσά ποτε μόνη ἡ Σητὰ, ἡ γυνὴ τοῦ Ῥάμα, ὃς ἐξῆλθεν εἰς θήραν, ἡρπάγη δόλῳ ὑπὸ τοῦ ἀντιθέου Ῥαβάνα, Βασιλέως τῆς νήσου Ταπροβάνης, καὶ πολλοῦ μέρους τῆς νοτίου Ἰνδίας. Συμμάχους δ' ἔπειτα εὑρὼν ὁ Ῥάμας, ἐγεφύρωσε τὸν Πορθμόν· καὶ νικήσας ἐν πολέμῳ, ἀνεῖλεν ἰδίᾳ χειρὶ τὸν τύραννον καὶ ἅρπαγα Ῥαβάναν. Ἐπαναλαβὼν δὲ τὴν Σητὰν, ἣ ἄμωμος ἀνεφάνη, ἐπανέστρεψε μετὰ θριάμβου εἰς τὴν Ἀϊοδδεὰν, τὴν ἑαυτοῦ πόλιν, καὶ βασιλεὺς ἀνεκηρύχθη, τοῦ πατρὸς αὐτοῦ ἀποθανόντος μετὰ τὴν ἐξορίαν ἐκ λύπης.

(4) Ἀναφέρεται ἀλληγορικῶς εἰς βασιλέα, ὃς ἦν ὡραῖος μὲν καὶ νικη-

πτικῶς τὴν δύναμιν τῶν ἑαυτοῦ βραχιόνων ἔμπροσθεν τῶν θεῶν, καὶ τοξεῦσαι ἤθελε τὸν Σίβαν, ἀπετεφρώθη ἐξαίφνης ὑπὸ τοῦ ἐν τῷ μετώπῳ πυρίνου ὄμματος τοῦ Σίβα.

82. Ἁρμόζει τῇ συνόδῳ τῶν πιθήκων ταῦτα (1)· οἱ μὲν κλάδοι τῶν δένδρων, ὡς ἁπαλὰ στρώματα, ἡ δ' ἄναρθρος καὶ ἀγρία φωνή, ὡς εὐπροσηγορία, ὁ δὲ δι' ὀδόντων καὶ ὀνύχων διαῤῥηγμὸς, ὡς ὑποδοχή.

83. Ὁ κακὸς ἄνθρωπος (2), καί περ ἐμβεβυθισμένος τῇ θεολογίᾳ, οὐκ ἔχει ἀγαθότητα, καθὼς ὁ Μαϊνάκας (3), καί περ ἐμβεβυθισμένος τῇ θαλάσσῃ, οὐκ ἔχει μαλακότητα.

84. Ὀλβιώτεροί εἰσιν οἱ μὴ ἔχοντες ἀγαθόν τι (4), ἢ οἱ ἔχοντες· παραδείγματος χάριν, τὰ μὲν λοιπὰ δένδρα ἀνεπηρέαστα μένουσι· τὰ δ' εὐώδη Σάνδανα κόπτονται.

85. Ὑπερτερεῖ πάντων ὁ ἀγαθὸς ἄνθρωπος (5), ὃς

τῆς κατὰ πάντων· τελευταῖον δὲ ἡρπάγη ὑπὸ τοῦ θανάτου ἐξαίφνης. Ὁ Θεὸς Ἔρως, ὃς Ἰνδιστὶ λέγεται Κάμα, εὐειδέστατος καὶ κραταιότατος ἁπαξαπάντων τῶν θεῶν κρίνεται.

(1) Ἀλληγορικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγεν· Ἐν συνόδῳ βαρβάρων καὶ ἀγρίων ἀνθρώπων ἡ μὲν γῆ ἐστιν, ὡς στρῶμα, ἡ δὲ κραυγὴ καὶ λογομαχία, ὡς εὐπροσηγορία, ἡ δ' ἀλληλομαχία, ὡς ὑποδοχὴ καὶ δεξίωσις.

(2) Ὁμοιωματικὸν τοῦτο.

(3) Μαϊνάκας, μυθευόμενον ὄρος, ὃ κατέφυγεν εἰς τὸν ὠκεανὸν ἐκ φόβου τοῦ Ἴνδρα, ὡς προείρηται.

(4) Παραδειγματικὸν, καὶ ὅμοιον, ὥσπερ εἰ ἔλεγεν· οἱ μὲν πτωχοὶ ἄνεσιν ἔχουσι καὶ ἀφοβίαν· οἱ δὲ πλούσιοι φοβοῦνται καὶ ἐκ κλέπτου καὶ ἐκ τυράννου.

(5) Ὁμοιωματικὸν τοῦτο. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

τανύει τὰ ἑαυτοῦ ἀγαθὰ εἰς τὸν ὄντα κενὸν, τουτέστι, πτωχὸν, καὶ καλύπτει τὰ αἴσχη αὐτοῦ, καθὼς ὁ Φάλαγξ τανύει τὰ ἑαυτοῦ ἀράχνια εἰς τὸ κενὸν, τουτέστιν, εἰς τὸν αἰθέρα, καὶ καλύπτει τὰς ὀπάς.

86. Ὑπὸ τίνος ἐπαινεθήσεται ὁ κακὸς ἄνθρωπος (1), ὃς κατακαίει τὸν ἀγαθὸν, καθὼς τὸ πῦρ τὸν Βύσσον, καὶ ἐξάπτει τὴν θλίψιν τῶν ἄλλων, καθὼς ὁ ἀὴρ τὸ πῦρ;

87. Οἱ κακοὶ ἄνθρωποι κακῶς λέγουσι τὸν ἀγαθὸν, τὸν καλύπτοντα τὰ ἀλλότρια κακὰ, καὶ ἀγαπητὸν πᾶσι, καθὼς οἱ μῦες φθείρουσι τὸ καλὸν καὶ εὐπάρυφον ἱμάτιον, τὸ καλύπτον τὰ ἀπόκρυφα μέρη, καὶ ἀγαπητὸν πᾶσιν (2).

88. Ὁ κακὸς ἄνθρωπος θλίψιν δίδωσι τῷ ἀγαθῷ (3), καὶ φθείρει τὴν εὔκλειαν, καθὼς τὸ σκόροδον τὴν εὐωδίαν, καὶ τὴν ἱλαρότητα ἀναιρεῖ, καθὼς τὸ πῦρ τὴν ψυχρότητα, καὶ μαραίνει τὸ ἔλεος, καθὼς ὁ ἥλιος τὸ ἄνθος.

89. Προσκύνησις ἐκείνῳ τῷ δένδρῳ (4), ὃ φέρει ἄνθος, καὶ φύλλα, καὶ καρπὸν πολὺν, καὶ ὑποφέρει καῦμα

---

(1) Ὁμοιωματικόν.

(2) Καὶ τοῦτο ὁμοιωματικόν. Τὸ πρωτότυπον χάριν ἔχει πλείστην, ἐπειδὴ ὁ ποιητὴς παίζει πρὸς τὰς λέξεις.

(3) Ὁμοιωματικόν.

(4) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· Αὐτὸ μὲν τὸ δένδρον πάσχει ὑπὸ καύματος καὶ ψύχους, τοῖς δ' ἀνθρώποις καὶ τοῖς λοιποῖς ζώοις εἰς ἀνάπαυσίν ἐστι καὶ ἄνεσιν· καὶ τὸ ἑαυτοῦ σῶμα τελευταῖον δίδωσι, κόπτεται δηλαδὴ, καὶ ἐν χρήσει ἐστὶν εἰς κατασκευὴν σιτίων, ἢ οἰκημάτων. Ἀλληγορεῖται δὲ εἰς ἄνθρωπον κοινωφελῆ, ὃς ἔχει ἀγαθὰ πολλὰ, οὐκ εἰς χρῆσιν ἑαυτοῦ, ἀλλ' ἄλλων, καὶ τὴν ἑαυτοῦ ζωὴν τελευταῖον δίδωσιν εἰς ὄφελος ἄλλων.

καὶ ψύχος, καὶ τὸ ἑαυτοῦ σῶμα δίδωσιν εἰς ὄφελος ἄλλων.

90. Ὅςτις σπουδὴν ποιεῖται πειθήνιον ποιῆσαι τὸν κακὸν ἄνθρωπον, οὗτος ἐφίεται καταπιεῖν ἡδέως δηλητήριον φάρμακον, καὶ φιλῆσαι ἀσπασίως τὸ ἐξημμένον πῦρ, καὶ τρόπους ποιεῖ δῆσαι μέγαν δράκοντα.

91. Ἡ νεφέλη (1), ἀφεῖσα τὰ ξηρὰ λήϊα τῶν ταλαιπώρων ἀνθρώπων, βρέχει ἀφθόνως εἰς τὸ χιονῶδες ὄρος· αὕτη ἡ διάκρισις τῆς ἀνοήτου νεφέλης, ἣ ἔχει δαψίλειαν ὕδατος, ὁμοία ἐστὶ τῇ σῇ, ὦ βασιλεῦ.

92. Τὰ μὲν ὄρη στερεά εἰσι· τῶν δ' ὀρέων στερεωτέρα ἐστὶν ἡ γῆ· τῆς δὲ γῆς στερεώτεροί εἰσιν οἱ τὴν γῆν βαστάζοντες ἐλέφαντες (2)· τῶν δ' ἐλεφάντων μᾶλλον στερεοὶ καὶ ἀκλόνητοι, οἱ μεγαλόψυχοι, εἰ καὶ παντελὴς ὄλεθρος εἴη.

93. Ὅςτις ἀγαθὸν ποιεῖ τῷ κακεντρεχεῖ, οὗτος ἐν μὲν τῷ αἰθέρι ἀροτριᾷ καὶ σπείρει, ἐν δὲ τῷ ὕδατι γράφει μετ' ἐπιμελείας, τὸν δὲ πνέοντα ἀέρα λούει δι' ὕδατος.

94. Ὁ πίθηκος ἄλλοτε μὲν λείχει τὸν ἐκ μαργάρων ὅρμον (3), ὃν ἔθετό τις ἐπὶ τοῦ τραχήλου αὐτοῦ,

(1) Ἀλληγορικῶς ἀνάγεται εἰς βασιλέα ἀδιάκριτον, ὅς, ἔχων ἄφθονα χρήματα, δίδωσιν οὐ τοῖς μηδὲν ἔχουσι, καὶ ἐνδεέσιν, ἀλλὰ τοῖς ἔχουσι πολλὰ, καὶ ἀνενδεέσιν.

(2) Μυθολογοῦσιν, ὡς τέσσαρες ἐλέφαντες ἐκ τῶν τεσσάρων μερῶν βαστάζουσι τὴν γῆν ἐπὶ τῆς κορυφῆς ἑαυτῶν.

(3) Ὅμοιον τῷ, « Μὴ βάλλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.» καὶ τῷ, « Οὗ τις τὴν γνῶσιν ἀφήρηται, τούτου κα[illegible] προχειρότατα.»

ἄλλοτε δὲ ὀσφραίνεται· καὶ ποτὲ μὲν εἰς τὰ ἄνω ῥίπτει αὐτὸν, ποτὲ δὲ εἰς τὰ κάτω.

95. Διὰ τί καταφρονεῖς, ὦ βομβύλιε (1), τοῦ λωτοῦ τούτου, ὃς ἔχει ἀγάπην πρὸς σὲ εἰλικρινῆ, οὗ ἡ καρδία οὐκ ἔστι καθαρά; καὶ γάνυται τὸ πρόσωπον πρὸ σοῦ, ὃς εἶ λάλος καὶ λοίδορος; καὶ ἐρᾷ σοῦ, ὃς εἶ ἄτακτος καὶ λάγνος;

96. Τί παράδοξον τοῦτο, εἰ αἶσχος λαμβάνει τὸ πρόσωπον τοῦ λαμβάνοντός τι παρ' ἄλλων εἰς ἑαυτοῦ χρείαν; καὶ ἡ νεφέλη γὰρ αὕτη, λαμβάνουσα ὕδωρ παρὰ τῆς θαλάσσης εἰς ἄλλων χρείαν, ὅλη μελαινα γίνεται (2).

97. Διὰ τί τελος, ὦ ἀγαθὲ (3), πονεῖς εἰς κτῆσιν μαθήσεως; εἰ ποιεῖς τοῦτο εἰς ἄνεσιν καὶ τρυφὴν τοῦ οἰκείου σώματος, ἄκουσον τοῦ ἐμοῦ ὠφελίμου λόγου· «Ὅσα ἔργα πορνικὰ μετὰ πολλῶν ἀκκισμάτων ἕλκουσι » τὴν καρδίαν, διὰ τούτων ζωὴ γίνεται τῷ ἀνθρώπῳ τού» του τοῦ αἰῶνος.»

98. Ἄνευ σοῦ, ὦ Ἔαρ, οὗ ἐν ὥρᾳ βομβύλιοι βομβοῦσι λιγυρῶς περὶ τὰ ἄνθη καὶ τὰ λεπτὰ φύλλα τῆς Ἄμρας, πάντα τὰ μέρη, τὰ ἀγλαϊζόμενα πολλοῖς

(1) Ἀναφέρεται ἀλληγορικῶς εἰς ἄνδρα λοίδορον, ἄτακτον, καὶ λάγνον, ὃς καταφρονεῖ γυναικὸς χαριέσσης, εὐτάκτου, καὶ σεμνῆς. Τὸ πρωτότυπον πάνυ χάριέν ἐστι, ἐπειδὴ πρὸς τὰς λέξεις παίζει ὁ ποιητής.

(2) Ὅτε ὕδωρ ἔχει ἡ νεφέλη, φαίνεται μέλαινα.

(3) Ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔλεγεν· Οἱ νῦν βασιλεῖς καὶ πλούσιοι μαστρωποῖς ἥδονται καὶ κακοήθεσι, καὶ οὐχὶ εὐπαιδεύτοις καὶ χρηστοήθεσιν.

ἄλλοις ἄνθεσιν, ἀμαυρὰ φαίνονται καὶ ἀηδῆ ἐμοὶ τῷ κόκκυγι (1), καὶ ὁ ἡδὺ πνέων ἀὴρ καίει μου τὸ σῶμα, ὡς τὸ πῦρ.

---

(1) Ὁ κόκκυξ ἡδέως ἐσθίει τὰ φύλλα καὶ ἄνθη τῆς Ἄμρας, καὶ ᾠδικώτερος γίνεται κατὰ τὸ ἔαρ· ἀλληγορεῖται δὲ εἰς πολύδωρον βασιλέα, ἢ εἰς πολυμαθῆ διδάσκαλον, ὃς ἀγαπᾶται μᾶλλον πάντων.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ

ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.